1347

# ΤΥΠΙΚΟΝ

## ΤΗΣ ΝΕΚΡΩΣΙΜΟΥ ΑΚΟΛΟΥΘΙΑΣ

ΜΕΤΑ ΠΑΡΑΡΤΗΜΑΤΟΣ

ΠΕΡΙ ΤΟΥ

ΝΕΚΡΩΣΙΜΟΥ ΤΡΙΣΑΓΙΟΥ

ΚΑΙ ΠΕΡΙ ΤΟΥ

ΜΝΗΜΟΝΕΥΜΑΤΟΣ ΤΩΝ ΟΝΟΜΑΤΩΝ

Εν ᾧ επισυνάπτονται

ΚΑΙ ΠΕΝΤΕ ΕΠΙΚΗΔΕΙΟΙ ΟΜΙΛΙΑΙ

ΥΠΟ

ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΠΑΜΦΙΛΟΥ

ΜΕΛΙΣΣΗΝΟΥ ΧΡΙΣΤΟΔΟΥΛΟΥ

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

1905

# ΤΥΠΙΚΟΝ

## ΤΗΣ ΝΕΚΡΩΣΙΜΟΥ ΑΚΟΛΟΥΘΙΑΣ

### ΜΕΤΑ ΠΑΡΑΡΤΗΜΑΤΟΣ

ΠΕΡΙ ΤΟΥ

**ΝΕΚΡΩΣΙΜΟΥ ΤΡΙΣΑΓΙΟΥ**

ΚΑΙ ΠΕΡΙ ΤΟΥ

**ΜΝΗΜΟΝΕΥΜΑΤΟΣ ΤΩΝ ΟΝΟΜΑΤΩΝ**

Ἐν ᾧ ἐπισυνάπτονται

ΚΑΙ ΠΕΝΤΕ ΕΠΙΚΗΔΕΙΟΙ ΟΜΙΛΙΑΙ

ΥΠΟ

ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΠΑΜΦΙΛΟΥ

ΜΕΛΙΣΣΗΝΟΥ ΧΡΙΣΤΟΔΟΥΛΟΥ

Ἀνατύπωσις ἐκ τῆς ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΑΛΗΘΕΙΑΣ
(ὑπ' ἀριθ. 3, 7 καὶ 10 τοῦ 1905)

1347
1924

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

1905

"Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω„

ΠΑΥΛΟΥ ΚΟΡΙΝΘ. Α. ΙΔ. 40.

SISMANOGLIO

# ΠΡΟΛΟΓΟΣ

Ἀναμφήριστόν ἐστιν, ὅτι ἡ τήρησις ἀκριβείας, εὐπρεπείας, καὶ αὐστηρᾶς τάξεως ἐν ταῖς ἱεραῖς ἀκολουθίαις τῆς Ἐκκλησίας ἡμῶν, προϋποτίθησιν ὡς ἀναγκαῖον καὶ ἀπαραίτητον ὅρον τὴν ὕπαρξιν ὁδηγοῦ, ἐκτιθέντος μετὰμεγάλης λεπτομερείας, σαφηνείας καὶ ἁπλότητος, χάριν τῶν πολλῶν, τὴν ἐν ἑκάστῃ εἰδικῇ περιπτώσει τυπικὴν διάταξιν. Διὸ καὶ ἀείποτε ἡ μήτηρ Ἐκκλησία οὐκ ἐπαύσατο προνοοῦσα ὑπὲρ τῆς ὅσον ἔνεστι τελειοτέρας διαρρυθμίσεως τοῦ ἐκκλησιαστικοῦ Τυπικοῦ, ὡς καὶ πάντων τῶν περιεχόντων ἱερὰς ἀκολουθίας ἐκκλησιαστικῶν βιβλίων.

Ἡ τοιαύτη δὲ πρόνοια παρέχει τὴν ἐλπίδα καὶ πεποίθησιν, ὅτι βαθμιαίως ἐπιτευχθήσεται ἡ ποθητὴ καὶ ἀναγκαία διαρρύθμισις τοῦ ἐκκλησιαστικοῦ Τυπικοῦ, πρὸς ἄρσιν μὲν τῶν ἐκ τῶν ἐλλείψεων αὐτοῦ συνεχῶς λαμβανουσῶν χώραν ἀταξιῶν, χασμῳδιῶν καὶ διαφόρων παραβάσεων καὶ ἀτοπημάτων, εἰσαγωγὴν δὲ τῆς ἀνηκούσης εὐπρεπείας καὶ τάξεως ἐν πάσῃ ἱερᾷ ἀκολουθίᾳ ἡμῶν καὶ τοῦ ὁμοιομόρφου, ὅπερ ὁμολογουμένως δέον νὰ ᾖ γνώμων καὶ κανὼν ἐν παντὶ τελουμένῳ ἐν τῇ Ἐκκλησίᾳ.

Τὸ παρὸν δὲν ἀφορᾷ τὸ Τυπικὸν ἐν γένει, ἀλλ' εἰδικὴν τυπικὴν διάταξιν, τὴν τῆς νεκρωσίμου Ἀκολουθίας, συνταχθεῖσαν μετὰ πολυχρόνιον πεῖραν καὶ μελέτην. Ἀναμφιβόλως δὲ ἐκ πρώτης ὄψεως ἡ ἐφαρμογὴ καὶ

διατύπωσις ἰδίας τυπικῆς διατάξεως, ἀπορρέουσης ἐξ ἀτομικῆς μελέτης, παρουσιάζει τι τὸ αὐθαίρετον, ἀλλ' ἡ μεθ' ὑπομονῆς καὶ ἀνηκούσης προσοχῆς καὶ ἐπιστασίας ἀνάγνωσις καὶ μελέτη τοῦ παρόντος, ἐλπίζω ὅτι αἴρει καὶ τὴν ἐλαχίστην περὶ ὑπάρξεως αὐθαιρεσίας καὶ ἀθέσμου ἰδέαν, μάλιστα δ' ὅτι καὶ κρατύνει τὴν γνώμην περὶ ἐξασφαλίσεως δι' αὐτῆς τῆς ἐκκλησιαστικῆς τάξεως ἐν ταῖς διαφόροις περιπτώσεσι τῆς νεκρωσίμου ἀκολουθίας. Διὸ καὶ προβαίνω.

Λαμβανομένου ὑπ' ὄψιν·

1) Ὅτι οὐδεμία τυπικὴ διάταξις νεκρωσίμου ἀκολουθίας ὑπάρχει ἐν τῷ ἀρχαίῳ Τυπικῷ τοῦ ἁγίου Σάββα (1685), ἐν ἀρχαίοις χειρογράφοις Τυπικοῖς καὶ τῷ Τυπικῷ Κωνσταντίνου πρωτοψάλτου τοῦ ἔτους 1838,

2) Ὅτι πολλαὶ διατάξεις ἐν νεκρωσίμοις ἀκολουθίαις ὑπάρχουσιν ἐν παντελεῖ ἀχρηστίᾳ,

3) Ὅτι σπουδαῖαι διαφοραὶ ὑπάρχουσι μεταξὺ τῶν ἐν Εὐχολογίοις καὶ Τυπικοῖς τυπικῶν διατάξεων τῆς νεκρωσίμου ἀκολουθίας,

4) Ὅτι ἐν τοῖς Τυπικοῖς Κωνσταντίνου πρωτοψάλτου (1869) καὶ Γ. Βιολάκη πρωτοψάλτου (1888), οὐδεμία μνεία γίνεται περὶ τῆς τηρητέας τυπικῆς διατάξεως, κατὰ τὴν Διακαινήσιμον ἑβδομάδα ἐν τῷ οἴκῳ τοῦ θανόντος καὶ κατὰ τὴν ἡμέραν τῆς ἀποδόσεως τοῦ Πάσχα,

5) Ὅτι οὐ δεῖ «κατ' ἐθνικοὺς εὔχεσθαι ἡμᾶς μετὰ **βαττολογίας** καὶ κραυγῆς, ὡς οἰομένους εἰσακουσθῆναι διὰ τὴν **πολυλογίαν** ἡμῶν[1]»,

1. Ἑρμηνεία Βαλσαμῶνος εἰς τὸν ΟΕ' Κανόνα τῆς ΣΤ' Οἰκουμενικῆς Συνόδου Ρ. καὶ Π. Συντ. Θ. καὶ Ι. Καν. Τομ. Β'

SISMANOGLIO MEGARO



6) Ὅτι «ἀπόκειται τῷ κατὰ τόπον ἀρχιερεῖ συντέμνειν, ἢ παραλείπειν, ἂν ἀπαραίτητος ἀνάγκη καιρῶν, τόπων καὶ περιστάσεων ἐπιβάλλῃ τοῦτο[1]»,

7) Ὅτι διαφοραὶ ὑπάρχουσιν ἐν τῇ ἐφαρμογῇ τῆς περὶ νεκρωσίμου ἀκολουθίας τυπικῆς διατάξεως, ἀναγκαία ἀπόρροια τῶν ἀνωτέρω,

8) Ὅτι συνεπῶς δὲν ὑφίσταται μία θετική, ὁριστικὴ καὶ ὁμοιόμορφος τυπικὴ διάταξις περὶ νεκρωσίμου ἀκολουθίας, προβλέπουσα δὲ πάσας τὰς περιπτώσεις, οὔτε γραπτή, οὔτε τηρουμένη ἀπαρασαλεύτως κατ' ἔθος, καὶ

9) Ὅτι τὸ ἀνομοιόμορφον, ἡ ἀσάφεια, τὰ χάσματα καὶ αἱ ἐλλείψεις ἐπὶ τοῦ προκειμένου, λαβὴν ἐπιδαψιλεύουσιν εἰς ἀμφιβολίας ἐν πολλαῖς περιπτώσεσιν, εἰς ἀντιπαραβολάς, παραλληλισμούς, εἰς συζητήσεις περὶ ἑρμηνειῶν ἐξ ἀναλογίας καὶ ἀντιδιαστολῆς καὶ εἰς διατύπωσιν καὶ ἐφαρμογὴν ἀτομικῆς γνώμης,

πρόδηλον ἀποβαίνει, ὅτι οὐ μόνον ἐπιτρέπεται, ἀλλὰ καὶ ἐπιβάλλεται ἡ τοιαύτη γνώμη. Συνεπῶς δ' ὅτι μετὰ ὥριμον καὶ ἐπιστημένην μελέτην, ἐρειδομένην ἐπὶ πολυχρονίου ἐφαρμογῆς καὶ πείρας, δύναταί τις ἀκινδύνως, μὴ ἀπομακρυνόμενος τοῦ ῥητοῦ «τὰ ἀρχαῖα κρατείτω», φυλάττων δὲ καὶ τὰς περὶ **βαττολογίας** καὶ **πολυλογίας** ἀπαγορευτικὰς διατάξεις τῶν ἱερῶν Κανόνων καὶ ἀνηκόντως ἐνασκῶν τὴν ἐκ τῆς ἀρχιερατικῆς ἀρχοδιότητος καὶ τοῦ κρατοῦντος κανόνος

σελ. 479. Ὅθεν φευκτέα ἡ πολυλογία καὶ ἰδίᾳ ἡ ἐπανάληψις τῶν αὐτῶν.

1. Τυπικὸν Γ. Βιολάκη πρωτοψάλτου σελ. ζ'.

«ὅπως δόξει τῷ προεστῶτι» ἐκπηγάζουσαν ἐξουσίαν, καθιερωμένην ὑπὸ τῆς συνηθείας, ῥητῶς δὲ καὶ ὑπὸ τοῦ νεωτέρου Τυπικοῦ, ὡς προείρηται, δύναταί τις ἀκινδύνως, καὶ δὴ καὶ ἐκ καθήκοντος, κατὰ τὸ μέτρον τῆς μελέτης, τῆς πείρας, τῶν γνώσεων, τῆς ἐπιμελείας καὶ τοῦ ὑπὲρ τῆς ἐκκλησιαστικῆς τάξεως ζήλου αὐτοῦ, νὰ φυλάττῃ ὡρισμένην τυπικὴν διάταξιν.

Πρὸς ἀπόδειξιν δὲ καὶ μείζονα κατανόησιν τοῦ μεγέθους τῆς ἀσαφείας, τῶν ἀντιφάσεων καὶ τῶν χασμάτων, ἅτινα παρουσιάζουσι καὶ ἐπὶ τοῦ προκειμένου αἱ τυπικαὶ διατάξεις ἡμῶν[1] καὶ τῆς δικαιολογίας τῆς ἀνάγκης τηρήσεως ὡρισμένης τυπικῆς διατάξεως ἐνταῦθα, ἐν ἑκάστῃ περιπτώσει, ἀναγκαίαν κρίνω τὴν ἑπομένην ἀντιπαραβολὴν τῶν περὶ νεκρωσίμου ἀκολουθίας τυπικῶν διατάξεων ἐν τοῖς Εὐχολογίοις καὶ Τυπικοῖς.

Α΄.

## Ἐν τῷ Μεγάλῳ Εὐχολογίῳ

περιέχονται αἱ ἑξῆς νεκρώσιμοι ἀκολουθίαι·

1) **Εἰς κοσμικούς.**

Ἀκολουθία ἐκτεταμένη· μετὰ ψαλμῶν· ἐπανειλημμένων διακονικῶν αἰτήσεων· κανόνος· καθίσματος· κοντακίου· μακαρισμῶν· στιχηρῶν· προσομοίων καὶ δοξαστικοῦ.

2) **Εἰς μοναχούς.**

Ἀκολουθία ὅλως διάφορος τῆς συνήθους.

3) **Εἰς ἱερεῖς.**

Ὅλως διάφορος καὶ λίαν ἐκτεταμένη.

1. Περὶ **Τυπικοῦ** ἐν γένει, ἴδε ὅσα ἔγραψα ἐν τῇ «Ἐκκλησιαστικῇ Ἀληθείᾳ» 1901 σελ. 156. 157. καὶ 169. 170.

SISMANOGLIO MEGARO



4) **Εἰς κοσμικοὺς ἄνδρας.**

Διάφορος καὶ σύντομος.

5) **Εἰς νήπια.**

Κανὼν καὶ στιχηρά.

Οὔτε μνεία δὲ περὶ τυπικῆς διατάξεως ἐν τῇ Διακαινησίμῳ ἑβδομάδι καὶ τῇ ἡμέρᾳ τῆς ἀποδόσεως τοῦ Πάσχα· ὡς καὶ ἀπὸ τῆς Κυριακῆς τοῦ Θωμᾶ μέχρι τῆς ἡμέρας τῆς ἀποδόσεως τοῦ Πάσχα. Τὸ ὑπ' ὄψιν μου **Μέγα Εὐχολόγιον** φέρει χρονολογίαν 1891.

Β΄.

## Ἐν τῷ Ἁγιασματαρίῳ

Τοῦτο, ὡς γνωστόν, εἰς κοινὴν χρῆσιν τῶν ἱερέων ὑπάρχει· Ἔχω δὲ ὑπ' ὄψιν τὰς ἐν Βενετίᾳ ἐκδόσεις αὐτοῦ τῶν ἐτῶν 1889 καὶ 1893· ἐξ ὧν ἡ μὲν σημειοῦται πρώτη, ἡ δὲ ἐνάτη, «διορθωθεῖσα πρὸς τὴν κατὰ τὸ 1851 παρὰ τῷ Φοίνικι ἔκδοσιν τοῦ Μεγάλου Εὐχολογίου· τῇ ἐγγράφῳ ἀδείᾳ τῆς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας».

Καὶ αἱ μὲν νεκρώσιμοι ἀκολουθίαι εἰς κοσμικούς, εἰς μοναχοὺς καὶ εἰς ἱερεῖς ἀπαραλλάκτως ἀντιγράφονται ἐν αὐτῷ ἐκ τοῦ Μ. Εὐχολογίου. Ἡ εἰς νήπια ἐκτίθεται μεθ' ἱκανῶν προσθηκῶν. Ἡ εἰς κοσμικοὺς ἄνδρας οὐδαμῶς ἀναφέρεται. Προστίθεται δὲ διάταξίς τις «Περὶ τῆς νεκρωσίμου ἀκολουθίας τῶν κοσμικῶν, εἰ τύχῃ τῇ ἑβδομάδι τῆς Διακαινησίμου, ἐκ τοῦ Ἰλλυρικοῦ Εὐχολογίου μεταφρασθεῖσα».

Γ΄.

## Ἐν ἑτέρῳ Ἁγιασματαρίῳ

Τοῦτο ἐξεδόθη ἐν Ἀθήναις ἐν ἔτει 1894 «ἐκ τῆς τελευταίας ἐκδόσεως τοῦ Μεγάλου Εὐχολογίου, τοῦ

ἐκδοθέντος δι' ἐγγράφου ἀδείας τῆς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας».

Περιλαμβάνει δὲ ἀπαραλλάκτως ὁλόκληρον τὴν νεκρώσιμον ἀκολουθίαν εἰς κοσμικούς, τὴν ἐν τῷ Μ. Εὐχολογίῳ, οὐχὶ δὲ καὶ τὴν εἰς μοναχοὺς καὶ ἱερεῖς. Τὴν δὲ νεκρώσιμον ἀκολουθίαν εἰς νήπια μεθ' ἱκανῶν προσθηκῶν. Προστίθεται δὲ ἐν αὐτῷ «Ἀκολουθία ἀναστάσιμος, ψαλλομένη ἀντὶ τῆς νεκρωσίμου ἐν τῇ ἁγίᾳ ἑβδομάδι τῆς Διακαινησίμου», διάφορος τῆς ἐν τῷ Τυπικῷ (1838), ὡς περιέχουσα ἱκανὰς προσθήκας.

Δ'.

## Ἐν τοῖς Τυπικοῖς

### Κωνσταντίνου Πρωτοψάλτου καὶ Γ. Βιολάκη πρωτοψάλτου.

Περιλαμβάνεται ἐν αὐτοῖς νεκρώσιμος ἀκολουθία εἰς **κοσμικούς**, προστιθεμένης ἐν τέλει τῆς σημειώσεως, ὅτι ἡ αὐτὴ τάξις φυλάττεται εἰς ἅπαντας τοὺς κοιμηθέντας, εἰς βασιλεῖς, εἰς πατριάρχας καὶ εἰς ἀρχιερεῖς καὶ εἰς ἄνδρας καὶ γυναῖκας, μικρούς τε καὶ μεγάλους καὶ εἰς αὐτὰ τὰ **βρέφη** ἀκόμη, ἐκτὸς τῶν κατ' ἦχον ἰδιομέλων, προσθέτει δὲ τῆς τῶν βρεφῶν εὐχῆς», «καὶ τοῦ Εὐαγγελίου» κατὰ τὸ Τυπικὸν Γ. Βιολάκη.

Περὶ τῆς κατὰ τὴν **Διακαινήσιμον** ἑβδομάδα νεκρωσίμου ἀκολουθίας.

Περὶ μὲν τῆς **ἐν τῷ οἴκῳ, οὐδεμία** διάταξις μνημονεύεται ἐν ἀμφοτέροις.

Περὶ δὲ τῆς **ἐν τῇ ἐκκλησίᾳ, διαφορὰ** ὑφίσταται μεταξὺ τῶν δύο Τυπικῶν, καθ' ἣν προσθῆκαι παρουσιάζονται ἐν τῷ Τυπικῷ τοῦ Κωνσταντίνου.

© SISMANOGLIO MEGARO



Περὶ τῆς **ἐν τῇ ἡμέρᾳ τῆς ἀποδόσεως τοῦ Πάσχα, οὐδεμία** μνεία ὑπάρχει ἐν ἀμφοτέροις.

Περὶ τῆς ἀκολουθίας **ἀπὸ τῆς Κυριακῆς τοῦ Θωμᾶ μέχρι** τῆς ἀποδόσεως τοῦ Πάσχα:

Ἐν μὲν τῷ Τυπικῷ τοῦ Κωνσταντίνου, μετὰ τὴν τυπικὴν διάταξιν, ἐν τῇ Διακαινησίμῳ, προστίθεται. «Μέχρι τῆς ἀποδόσεως τοῦ Πάσχα, εἰς τὸ λείψανον, ἀντὶ τοῦ «Ἅγιος ὁ Θεός», ψάλλεται «Χριστὸς ἀνέστη», μετὰ τὸν εὐλογητὸν ψάλλεται ἐκ τρίτου τὸ «Χριστὸς ἀνέστη». Εἶτα ἡ νεκρώσιμος ἀκολουθία».

Ἐν δὲ τῷ Τυπικῷ τοῦ Γ. Βιολάκη σημειοῦται· «Μετὰ τὴν Διακαινήσιμον ἑβδομάδα, ἀφ' οὗ εἰσέλθωμεν ἐν τῷ ναῷ μετὰ τοῦ λειψάνου, ὁ Ἀρχιερεύς, «Εὐλογητὸς ὁ Θεός», εἶτα τὸ Χριστὸς ἀνέστη ὑπὸ τοῦ ἀρχιερέως ἅπαξ, καὶ δὶς ὑπὸ τῶν χορῶν καὶ ἀκολούθως ἡ νεκρώσιμος συνήθης ἀκολουθία, ὡς προδιετυπώθη».

Ἴσως παρατηρήσῃ τις ἐνταῦθα, ὅτι κατὰ τὴν θεωρίαν περὶ τῶν χρονικῶν ὁρίων τῆς ἰσχύος τοῦ δικαίου, καθ' ἣν ὁ νεώτερος νόμος καταργεῖ τὸν προηγούμενον, δὲν ἔχει λόγον ἡ ἄνω ἀντιπαραβολή, τοῦ νεωτέρου Τυπικοῦ (τοῦ 1888) μόνον ἔχοντος τὴν κανονικὴν ἰσχὺν καὶ ἐφαρμογὴν νομικῶς. Ἐὰν ὅμως ληφθῇ ὑπ' ὄψιν τὰς προεκτεθείσας συνοπτικῶς ἐλλείψεις τοῦ Τυπικοῦ τούτου, τὴν ἀνατροπήν, τὴν ἐκπαίδευσιν καὶ τὴν δυστυχῶς ἐπιπολάζουσαν παροιμιώδη ἀμάθειαν, ἐπιδαψιλεύουσαν θαυμαστὴν καὶ ἀξιοσημείωτον προσήλωσιν εἰς τὸ κείμενον (στὴ στάμπα), ἧς ἀπόρροια πολλάκις ἐστὶν ἡ μετὰ καταπληκτικῆς ἀκριβείας καὶ τελειότητος, ἐν τῇ ἀναγνώσει τῶν εὐχῶν καὶ ἡ τῶν παραπομπῶν ἀνάγνωσις καὶ τοῦ **δεῖνα,** τὴν χρῆσιν δὲ διαφόρων βι-

βλίων, ἀναμφιβόλως θέλει ἀποσύρει τὴν τοιαύτην παρατήρησιν καὶ ἀνενδοιάστως πεισθήσεται, ὅτι ἐν τῇ ἱερᾷ τελετῇ τῆς νεκρωσίμου ἀκολουθίας, ποικίλλει σπουδαίως ἡ τυπικὴ διάταξις κατὰ τὴν ἐφαρμογήν, ποῦ μὲν διεξαγομένη ἐπὶ τῇ βάσει τοῦ κειμένου τοῦ **Μ. Εὐχολογίου,** ἢ Ἁγιασματαρίου τινός, ποῦ δὲ ἐφαρμοζομένου, **ὅπως κι ὅπως** τοῦ Τυπικοῦ τοῦ Κωνσταντίνου ἢ τοῦ Γ. Βιολάκη.

Ἐν περιπτώσει δὲ χάσματος, ὅτι ἀναπληροῦται τοῦτο **κατ' ἰδίαν ἀντίληψιν καὶ κρίσιν,** ἀναλόγως τοῦ βαθμοῦ τῆς πείρας ἢ ἀπειρίας, μαθήσεως ἢ ἀμαθείας καὶ ἐπιμελείας ἢ ἀμελείας τυχόντος **τυπικαρίου.**

Ἐκ τῆς ἐκθέσεως δὲ καὶ ἀντιπαραβολῆς τῶν ἀνωτέρω διαφόρων τυπικῶν διατάξεων νεκρωσίμου ἀκολουθίας, περιεχομένης ἐν Εὐχολογίοις καὶ Τυπικοῖς **ἐν χρήσει,** προκύπτουσι προδήλως τὰ ἑξῆς·

α') Ὅτι αἱ ἀνατυπώσεις, μετατυπώσεις καὶ ἐκτυπώσεις Εὐχολογίων, στερεοτύπως, μετὰ τῶν ἐν αὐτοῖς ἀρχαίων τυπικῶν διατάξεων, ἄνευ τῆς ἀνηκούσης προνοίας πρὸς διαρρύθμισιν αὐτῶν, συνῳδὰ δὲ ταῖς κανονικαῖς διατάξεσιν, ἄνευ **βαττολογίας** καὶ **πολυλογίας** καὶ πρὸς κανονικὴν συμπλήρωσιν, ἁρμοδίως, τῶν παρουσιαζομένων χασμάτων καὶ κενῶν, ὡσεὶ πρόκειτο περὶ ἐκθέσεως θεσμοῦ τινος, ἱστορικῶς, ἢ ἀρχαιολογικοῦ τινος μνημείου, συνεπάγεται τὴν παράτασιν τῆς διατηρήσεως αὐτῶν καὶ τῶν μεταξὺ αὐτῶν σπουδαίων διαφορῶν, ἀσυμφωνιῶν καὶ ἀντιφάσεων.

β') Ἡ χρῆσις τῶν Εὐχολογίων (Ἁγιασματαρίων) ὑπὸ τῶν ἱερέων, ἐν πάσῃ ἱεροπραξίᾳ, τελουμένη κατὰ

SISMANOGLIO MEGARO



κανόνα, συμφώνως ταῖς ἐν αὐτοῖς διατάξεσι, δὲν εἶναι δυνατόν, διὰ τοὺς πολλούς, εὐκόλως νὰ ἐπιτρέπῃ ἐξαίρεσιν εἰς τὴν περὶ νεκρωσίμου ἀκολουθίας διάταξιν καὶ νὰ ἐφαρμόζηται οὐχὶ ἡ ἐν τῷ Εὐχολογίῳ, ἀλλ' ἡ ἐν τῷ Τυπικῷ. Καθόσον μάλιστα ἐφαρμόζονται οὕτω καὶ αἱ ἐν τῷ Εὐχολογίῳ διατάξεις περὶ τοῦ Βαπτίσματος καὶ τοῦ Γάμου, περὶ ὧν οὐδὲν ἀναφέρει τὸ **Τυπικόν,** περιοριζόμενον ἐξαιρετικῶς εἰς τὴν διατύπωσιν διατάξεως νεκρωσίμου ἀκολουθίας, ἐλλιποῦς, ὡς προείρηται.

γ') Ἐν τε τοῖς Εὐχολογίοις καὶ τοῖς Τυπικοῖς ὑπάρχουσιν ἐλλείψεις, ἐκ τῆς μὴ προβλέψεως τῶν διαφόρων περιπτώσεων ἐν τῇ νεκρωσίμῳ ἀκολουθίᾳ, καὶ

δ') Ὅτι πλὴν τῶν ἐλλείψεων τούτων, καὶ μεταξὺ τῶν Τυπικῶν, ἀμφοτέρων ὄντων **ἐν χρήσει,** ὡς καὶ τῶν Εὐχολογίων, ὑπάρχουσι διαφοραὶ καὶ ἀσυμφωνίαι ἐν τῇ διατάξει τῆς νεκρωσίμου ἀκολουθίας.

Ὅθεν, λαμβανομένων ὑπ' ὄψιν τούτων, μετὰ τῶν προεκτεθέντων (σελ. 4. 5. § 1–9), ἀρκούντως δικαιολογεῖται ἡ τήρησις ὡρισμένης τυπικῆς διατάξεως, ἐπιβαλλομένης ὑπὸ τῆς ἐκκλησιαστικῆς τάξεως καὶ εὐπρεπείας, ὡς προείρηται.

Τοιαύτη δὲ ἐστὶν ἡ ἑπομένη διάταξις ἐν ἀνηκούσῃ λεπτομερείᾳ, σαφηνείᾳ καὶ δυνατῇ ἁπλότητι συνταχθεῖσα μετὰ πολυχρόνιον μελέτην καὶ πεῖραν.

Πρὸς τούτοις, ἐπειδὴ τὸ **Νεκρώσιμον τρισάγιον** ψάλλεται οὐ μόνον ἐν Κηδείᾳ, ἀλλὰ καὶ ἐν ἄλλαις περιστάσεσιν.

Ἐπειδὴ κατὰ ταύτας, οὔτε τὸ ὁμοιόμορφον, ἀλλ' οὔτε τὴν ἀπαιτουμένην σεμνοπρέπειαν καὶ τάξιν παρουσιάζει ἡ πρᾶξις· προπετῶς δὲ καὶ ἀγροίκως παραβιά-

ζεται ὁ Κανών, ὁ ἐπιτάσσων τὴν ἀποφυγὴν τῆς βαττολογίας καὶ πολυλογίας, καὶ ὑπαγορεύων «πάντα εὐσχημόνως καὶ κατὰ τὴν τάξιν γινέσθω»· καὶ

Ἐπειδὴ ἡ αὐτὴ παράβασις παρουσιάζεται καὶ ἐν τῷ ἐν ἀμέσῳ σχέσει διατελοῦντι πρὸς τὸ νεκρώσιμον τρισάγιον Μνημονεύματι τῶν ὀνομάτων.

Διὰ ταῦτα, χάριν τοῦ ὁμοιομόρφου, τῆς εὐπρεπείας καὶ τῆς τάξεως, καὶ πρὸς ὁδηγίαν καὶ εὐκολίαν, ἐν τέλει ἐπισυνάπτεται **Παράρτημα** περὶ τοῦ **Νεκρωσίμου τρισαγίου** καὶ περὶ τοῦ **Μνημονεύματος τῶν ὀνομάτων.**

Ἐπὶ τῇ παρεχομένῃ δὲ εὐκαιρίᾳ, συνῳδὰ τῷ Ἀποστολικῷ ῥητῷ «Πάντα πρὸς οἰκοδομὴν γινέσθω», δημοσιεύονται, ὡς σχετικαὶ πρὸς τὸ θέμα, καὶ πέντε **Ἐπικήδειοι Ὁμιλίαι** ἐποικοδομητικαί, ἐξ ὅσων εἰς διαφόρους περιστάσεις ἐξεφώνησα.

Κωνσταντινούπολις-Ταταῦλα, 15 Ἰανουαρίου 1903.

† Ὁ Παμφίλου ΜΕΛΙΣΣΗΝΟΣ.

---

# ΤΥΠΙΚΟΝ

## ΤΗΣ ΝΕΚΡΩΣΙΜΟΥ ΑΚΟΛΟΥΘΙΑΣ

SISMANOGLIO

### ΜΕΡΟΣ ΠΡΩΤΟΝ

### ΔΙΑΙΡΕΣΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ ΚΑΙ ΣΗΜΕΙΩΣΙΣ.

Πρὸς μείζονα σαφήνειαν καὶ εὐκολωτέραν κατάληψιν, εἰς ἣν πρωτίστως δέον ν' ἀποβλέπῃ ἡ σύνταξις πάσης Τυπικῆς διατάξεως, χάριν τῶν πολλῶν, ἡ παροῦσα τυπικὴ διάταξις τῆς νεκρωσίμου ἀκολουθίας διαιρεῖται ὡς ἑξῆς·

### Α'. ΣΥΝΗΘΗΣ ΝΕΚΡΩΣΙΜΟΣ ΑΚΟΛΟΥΘΙΑ.

Ἐν ᾗ συμπεριλαμβάνονται καὶ αἱ νεκρώσιμοι ἀκολουθίαι·

### ΕΙΣ ΤΑ ΜΕΘΕΟΡΤΑ ΤΟΥ ΠΑΣΧΑ.

Ἤτοι ἀπὸ τοῦ Ἑσπερινοῦ τῆς Κυριακῆς τοῦ Θωμᾶ (τοῦ ψαλλομένου τὸ Σάββατον ἑσπέρας ὡς γνωστόν), μέχρι τοῦ Ἑσπερινοῦ τῆς ἀποδόσεως τοῦ Πάσχα, ἤτοι μέχρι τῆς Ἐνάτης τῆς τρίτης πρὸ τῆς Ἀναλήψεως, καὶ

### ΕΙΣ ΝΗΠΙΑ.[1]

### Β'. ΝΕΚΡΩΣΙΜΟΣ ΑΚΟΛΟΥΘΙΑ ΕΝ ΤΗ ΔΙΑΚΑΙΝΗΣΙΜῼ ΕΒΔΟΜΑΔΙ.

Ἤτοι ἀπὸ τῆς πρώτης Ἀναστάσεως τοῦ Πάσχα, μέχρι τοῦ Ἑσπερινοῦ τῆς Κυριακῆς τοῦ Θωμᾶ, (τοῦ ψαλλομένου τὸ Σάββατον ἑσπέρας, ὡς γνωστόν), καὶ

### ΕΝ ΤΗ ΗΜΕΡᾼ ΤΗΣ ΑΠΟΔΟΣΕΩΣ ΤΟΥ ΠΑΣΧΑ.

Ἤτοι ἀπὸ τῆς Ἐνάτης τῆς τρίτης πρὸ τῆς Ἀναλήψεως, μέχρι τοῦ Ἑσπερινοῦ τῆς Ἀναλήψεως, (τοῦ ψαλλομένου τὴν τετάρτην ἑσπέρας, ὡς γνωστόν)·

Ἐν ᾗ συμπεριλαμβάνεται καὶ ἡ ἐν ταῖς περιπτώσεσι ταύταις νεκρώσιμος ἀκολουθία **εἰς νήπια.**

Πρὸς μεγαλειτέραν δὲ σαφήνειαν καὶ εὐκολωτέραν διάκρισιν ἑκάστης τῶν Ἀκολουθιῶν τούτων καὶ ἄπταιστον ἐφαρμογὴν αὐτῶν, σημειοῦνται ἐκτὸς τῶν ἄλλων καὶ τὰ ἑξῆς·

Εἰς μὲν τὰ **Μεθέορτα τοῦ Πάσχα,** αἱ προστιθέμεναι εὐχαὶ σημειοῦνται διὰ **παχέων γραμμάτων.**

Εἰς δὲ τὰ **νήπια** διὰ ψιλῶν γραμμάτων.

Ὡς ὠφέλιμος δὲ καὶ χρήσιμος, προτάσσεται ἐν-

1. **Νήπιον** λέγεται ὁ παῖς, ὁ ἔχων ἡλικίαν μικροτέραν τοῦ ἑβδόμου ἔτους, συμπεριλαμβανομένου.



ταῦθα ἡ ἑπομένη σημείωσις, ἀφορῶσα τὴν τήρησιν τῆς ὀφειλομένης ἀκριβείας, τάξεως καὶ εὐπρεπείας ἐν τῇ ἐφαρμογῇ τῶν Τυπικῶν διατάξεων μεταξὺ τοῦ ἱεροῦ κλήρου.

### Σημείωσις.

Ὁ ἱερὸς κλῆρος, ὅστις προσκαλεῖται νὰ ψάλλῃ τὴν νεκρώσιμον ἀκολουθίαν ἐν κηδείᾳ τινί, ὡς γνωστόν, ἀποτελεῖται·

α') ἐξ ἑνὸς ἱερέως, μετὰ, ἢ ἄνευ διακόνου.

β') ἐκ δύο ἢ πλειόνων ἱερέων, μετὰ ἢ ἄνευ διακόνου, ἢ διακόνων.

γ') ἐξ ἑνὸς Ἀρχιερέως, ἢ πλειόνων, μετὰ ἱερέως, ἢ ἱερέων, καὶ διακόνου ἢ διακόνων.

Ἐν ἑκάστῃ τῶν περιπτώσεων τούτων φυλάττεται ἡ ἑξῆς τυπικὴ διάταξις.

1. Ὅταν ἦναι μόνος εἷς ἱερεύς, οὗτος λέγει καὶ τὰ ἀνήκοντα τῷ διακόνῳ, (πλὴν τοῦ «Εὐλόγησον Δέσποτα», ὅπερ ἐγκαταλιμπάνεται).

2. Ὅταν ἦναι εἷς ἱερεὺς μετὰ διακόνου, ἕκατερος λέγει τὰ ἀνήκοντα αὐτῷ, καί τινα ἐναλλάξ.

3. Ὅταν ἦναι δύο ἢ πλείονες ἱερεῖς, ἄνευ διακόνου, ὁ ἀνώτερον ὀφφίκιον ἔχων ἱερεύς, ἢ ἐν ἐλλείψει ὀφφικιάλων, ὁ ἔχων τὰ πρεσβεῖα τῆς χειροτονίας προεξάρχει, ὁ δὲ νεώτερος τὴν χειροτονίαν λέγει τὰ τοῦ διακόνου. (Πλὴν τοῦ «Εὐλόγησον Δέσποτα», ὅπερ παραλείπεται)[1].

1. Ἡ ἱεραρχικὴ τάξις ἐν τῇ σειρᾷ, ὁρίζεται κατὰ τὸν βαθμὸν τῶν ὀφφικίων, ἂν ὑπάρχωσιν ὀφφικιάλοι ἱερεῖς, εἰ δὲ μή κατὰ τὰ πρεσβεῖα τῆς χειροτονίας.

© SISMANOGLIO MEGARO

4. Ὅταν ἦναι δύο ἢ πλείονες ἱερεῖς μετὰ διακόνου, ὁ εἷς ἱερεὺς προεξάρχει κατὰ τὰ ἀνωτέρω, ὁ δὲ διάκονος λέγει τὰ ἀνήκοντα αὐτῷ.

5. Ὅταν ὑπάρχῃ Ἀρχιερεύς, (παρ' οὗ κατὰ τὰ τεθεσπισμένα, ἐν τῷ οἴκῳ, ἐν ᾧ ὁ νεκρός, λαμβάνουσι τὴν κανονικὴν ἄδειαν (καιρὸν) οἱ ἱερεῖς καὶ οἱ διάκονοι, πρὶν ἐνδυθῶσι τὰ ἱερὰ ἄμφια), οὗτος λέγει τὰ ἀνήκοντα τῷ ἱερεῖ καὶ αὐτῷ, πλὴν τοῦ μετὰ τὴν ἀπόλυσιν «Δι' εὐχῶν τῶν Ἁγίων.. . . . . .» ἀντὶ τοῦ ὁποίου ὁ πρῶτος ἱερεὺς λέγει, «Δι' εὐχῶν τοῦ Ἁγίου Δεσπότου . . . .».

6. Ὅταν ὑπάρχωσι δύο Ἀρχιερεῖς, ὁ προεξάρχων λέγει τὰ τοῦ ἱερέως καὶ τὴν α' Συγχωρητικὴν εὐχήν, ὁ δὲ ἕτερος τὴν β'.

7. Ὅταν ὑπάρχωσι πλείονες Ἀρχιερεῖς, ὁ μὲν προεξάρχων λέγει τὰ τοῦ ἱερέως, πλὴν τοῦ «Δι' εὐχῶν . . .», καὶ τὴν α' Συγχωρητικὴν εὐχήν, ὁ δεύτερος τῇ τάξει τὴν β', οἱ δὲ λοιποὶ καθ' ἱεραρχικὴν σειρὰν «Ὅτι σὺ εἶ ἡ ἀνάστασις. . . . ».

8. Ὅταν ὑπάρχωσι δύο ἢ πλείονες διάκονοι, διανέμονται μεταξὺ αὐτῶν τὰ τοῦ διακόνου.

---

## ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

### Αἱ Ἀκολουθίαι.

#### Α'. ΣΥΝΗΘΗΣ ΝΕΚΡΩΣΙΜΟΣ ΑΚΟΛΟΥΘΙΑ.

Ἐν ᾗ συμπεριλαμβάνεται καὶ ἡ **εἰς τὰ μεθέορτα τοῦ Πάσχα,** καὶ ἡ εἰς **νήπια.**

SISMANOGLIO MEGARO



#### α'). Ἐν τῷ οἴκῳ.

Ὁ ἱερὸς κλῆρος ἐνδύεται τὰ ἱερὰ ἄμφια. Εἶτα εἷς ἱερεὺς μετὰ τοῦ διακόνου, κρατοῦντες θυμιατόν, εἰσέρχονται ὅπου κεῖται ὁ νεκρὸς καὶ ἀναγινώσκουσι

**Τὸ Νεκρώσιμον Τρισάγιον.**

**Ὁ διάκονος·** Εὐλόγησον Δέσποτα.

**Ὁ ἱερεύς·** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα

---

ΕΙΣ ΤΑ ΜΕΘΕΟΡΤΑ ΤΟΥ ΠΑΣΧΑ. *

**Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.** (Ἐκ τρίτου).

Ἀντὶ τοῦ **τρισαγίου.**

---

* **Σημείωσις.** Ὡς φανερόν, διὰ τῶν γραμμῶν σχήματος

---

περικλείονται τὰ εἰς τὰ **Μεθέορτα τοῦ Πάσχα** προστιθέμενα, **Ἐν τῇ Συνήθει Νεκρωσίμῳ Ἀκολουθίᾳ,** ἅτινα πρὸς διάκρισιν, σημειοῦνται καὶ **διὰ παχέων γραμμάτων.**

Διὰ τῶν γραμμῶν σχήματος

---

περικλείονται τὰ **εἰς Νήπια** ἐν γένει προστιθέμενα, ἅτινα πρὸς διάκρισιν σημειοῦνται καὶ διὰ ψιλῶν γραμμάτων.

Διὰ δὲ τῶν γραμμῶν σχήματος

---

περικλείονται τὰ ἀναγινωσκόμενα μέν, ἢ ψαλλόμενα Ἐν τῇ **Συνήθει Νεκρωσίμῳ Ἀκολουθίᾳ.** Παραλειπόμενα δὲ **Εἰς**

---

### Τὸ Τρισάγιον.

(Ὅπερ παραλείπεται Εἰς τὰ Μεθέορτα τοῦ Πάσχα).

**Ὁ διάκονος·** Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Ἐκ τρίτου).

Δόξα Πατρὶ καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς, Κύριε, ἱλάσθητι τὰς ἁμαρτίας ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

Δόξα πατρί, καὶ υἱῷ, καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

**Ὁ ἱερεύς·** Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ

---

**τὰ Μεθέορτα τοῦ Πάσχα·** ἢ **Εἰς Νύπτια·** ἢ **Ἐν τῇ Διακαινησίμῳ Ἑβδομάδι** καὶ **Ἐν τῇ ἡμέρᾳ τῆς Ἀποδόσεως τοῦ Πάσχα.**

Οἷον ἐν σελ. 17. 18. **Εἰς τὰ Μεθέορτα τοῦ Πάσχα.** Λέγεται μὲν τὸ **Χριστὸς Ἀνέστη** (Ἐκ τρίτου). Παραλείπεται δὲ τὸ **Τρισάγιον** (Ἅγιος ὁ Θεὸς — Ὅτι σοῦ ἐστιν . . ).



ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

Εἶτα τὰ τροπάρια.

### Ἦχος δ΄.

Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τὴν ψυχὴν τοῦ δούλου (ἢ τῆς δούλης) σου, Σῶτερ ἀνάπαυσον, φυλάττων αὐτὴν εἰς τὴν μακαρίαν ζωὴν τὴν παρὰ σοὶ φιλάνθρωπε.

**Ὁ διάκονος·** Εἰς τὴν κατάπαυσίν σου Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον Κύριε, καὶ τὴν ψυχὴν τοῦ δούλου (ἢ τῆς δούλης) σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

**Ὁ ἱερεύς·** Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ καταβὰς εἰς ᾅδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων, αὐτὸς καὶ τὴν ψυχὴν τοῦ δούλου (ἢ τῆς δούλης) σου Σῶτερ ἀνάπαυσον.

**Ὁ διάκονος·** Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ μόνη ἁγνή, καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε ὑπὲρ τοῦ ἐλεηθῆναι τὴν ψυχὴν τοῦ δούλου (ἢ τῆς δούλης) σου.

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου (ἢ τῆς κεκοιμημένης δούλης) τοῦ Θεοῦ . . . . , καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ (ἢ αὐτῇ) πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ (ἢ αὐτῆς) ἔνθα οἱ δίκαιοι ἀναπαύονται. Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν αὐτοῦ (ἢ αὐτῆς) ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ ἱερεύς·**

---

## ΕΙΣ ΝΗΠΙΑ

Ὁ φυλάσσων τὰ νήπια, Κύριε, ἐν τῷ παρόντι βίῳ, ἐν δὲ τῷ μέλλοντι, διὰ τὸ τῆς γνώμης ἁπλοῦν καὶ ἀνεύθυνον, τοὺς Ἀβραμιαίους κόλπους ἀποπληρῶν καὶ φωτοειδέσι τόποις κατασκηνῶν, ἐν οἷς αὐλίζεται τῶν δικαίων τὰ πνεύματα, πρόσδεξαι ἐν εἰρήνῃ καὶ τοῦ δούλου (ἢ τῆς δούλης) σου τὴν ψυχήν· αὐτὸς γὰρ εἶπας, τῶν τοιούτων εἶναι τὴν βασιλείαν τῶν οὐρανῶν.

Ἀντὶ τῆς εὐχῆς· "Ὁ Θεὸς τῶν πνευμάτων . . . ."·[1]

---

1. Συνῳδὰ τῷ **ΚΑΝΟΝΙ εἰς νήπια τελευτήσαντα**, ἐν ᾧ οὐδαμῶς ἀναφέρεται ἡ εὐχὴ «Ὁ Θεὸς τῶν πνευμάτων. . . .» (**Εὐχολόγιον τὸ μέγα** ἔκδοσις ἕκτη 1891 σελ. 476—482).

Πολὺ δὲ εὐλόγως καὶ προσηκόντως· Διότι ὁμολογουμένως ἄτοπόν ἐστιν, εὔχεσθαι ὑπὲρ νηπίου καὶ λέγειν «. . . . πᾶν ἁμάρτημα τὸ παρ' αὐτοῦ πραχθὲν **ἐν λόγῳ, ἢ ἔργῳ, ἢ διανοίᾳ**, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον . . . .». Ὅπερ δὲ καὶ ἐν προφανεῖ ἀντιθέσει εὑρίσκεται πρὸς τὴν εὐχὴν «Ὁ φυλάττων τὰ νήπια, Κύριε, ἐν τῷ παρόντι βίῳ, ἐν δὲ τῷ μέλλοντι, διὰ τὸ **τῆς γνώμης ἁπλοῦν καὶ ἀνεύθυνον**, τοὺς Ἀβραμιαίους κόλπους ἀποπληρῶν . . . . .».



---

( Ἡ εὐχὴ ἡ παραλειπομένη εἰς **Νήπια** ).

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας, καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος, αὐτὸς Κύριε, ἀνάπαυσον τὴν ψυχὴν τοῦ κεκοιμημένου δούλου (ἢ τῆς κεκοιμημένης δούλης) σου. . . . . . . . . ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη καὶ στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ' αὐτοῦ (ἢ παρ' αὐτῆς) πραχθὲν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον, ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται ἐπὶ τῆς γῆς καὶ οὐχ ἁμαρτήσει. Σὺ γὰρ μόνος, Κύριε, ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου ἀλήθεια.

---

Εἶτα

**Ὁ διάκονος·** Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ ἱερεύς·** Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή, καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου (ἢ τῆς κεκοιμημένης δούλης) σου . . . . , Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Ὁ διάκονος·** Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Ὁ ἱερεύς·** Τὴν **ΑΠΟΛΥΣΙΝ.**

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν δόξα σοι.

Ὁ καὶ νεκρῶν καὶ ζώντων τὴν ἐξουσίαν ἔχων, ὡς ἀθάνατος βασιλεὺς καὶ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς Παναχράντου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων ἐνδόξων Προπατόρων, Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, τοῦ ἁγίου καὶ δικαίου τετραημέρου φίλου τοῦ Χριστοῦ Λαζάρου καὶ πάντων τῶν Ἁγίων καὶ τὴν ψυχὴν τοῦ ἐξ ἡμῶν μεταστάντος δούλου (ἢ μεταστάσης δούλης) αὐτοῦ . . . . ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαύσαι, καὶ μετὰ Ἁγίων καὶ δικαίων συναριθμήσαι, ἡμᾶς δὲ ἐλεήσαι ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός. Ἀμήν.

Αἰωνία σου ἡ μνήμη ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ (ἢ ἀδελφή) ἡμῶν. Αἰωνία σου ἡ μνήμη. Αἰωνία σου ἡ μνήμη.

Εἶτα

---

ΕΙΣ ΤΑ ΜΕΘΕΟΡΤΑ ΤΟΥ ΠΑΣΧΑ.

Μετὰ τὴν ἀπόλυσιν.

**Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.**

Ἀντὶ τοῦ **Δι' εὐχῶν.**

---

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.



**β'. Ἐκφορὰ ἐκ τοῦ οἴκου.**

Ἐκ τοῦ οἴκου μεταφέρεται ὁ νεκρὸς ἀπ' εὐθείας εἰς τὴν Ἐκκλησίαν[1] κατὰ τὴν ἑξῆς τάξιν.

Προπορευομένων τῶν Ἑξαπτερύγων, ἕπεται ὁ ἱερὸς κλῆρος, ἑκάστου ἱερέως κατέχοντος τὴν ἀνήκουσαν αὐτῷ θέσιν, καθ' ἱεραρχικὴν τάξιν. Ἤτοι προπορευομένων τῶν μὴ ὀφφικιάλων, ἑπομένων δὲ τῶν ὀφφικιάλων, ἢ τῶν ἐχόντων πρεσβεῖα χειροτονίας μεταξὺ μὴ ὀφφικιάλων.

Οἱ ψάλται ψάλλουσιν.

---

ΕΙΣ ΤΑ ΜΕΘΕΟΡΤΑ ΤΟΥ ΠΑΣΧΑ.

**Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.**

Ἀντὶ τοῦ **Ἅγιος ὁ Θεός.**

---

1. Συνωδὰ τῇ ὑπὸ ἡμερ. 18 Νοεμβρίου 1897 ἐκκλησιαστικῇ Ἐγκυκλίῳ, ἐν ᾗ χαρακτηρίζεται τὸ ἐθιζόμενον εἴς τινα μέρη ὡς «ὁμολογουμένως ἄτοπον καὶ περιττὸν ἔθιμον τῆς πρὸς ἁπλῆν ἐπίδειξιν γινομένης ἀνὰ τὰς ὁδοὺς περιαγωγῆς τῶν κηδευομένων νεκρῶν» καὶ διατάττονται οἱ κληρικοί, ὅτι «ὀφείλουσι διὰ τῆς συντομωτέρας ὁδοῦ διευθύνεσθαι εἰς τὴν Ἐκκλησίαν».

Ἡ δὲ ἐπανάληψις ἁπλῶς μόνον τῆς ἐκφωνήσεως «Ὅτι σὺ εἶ ἡ ἀνάστασις . . . » κατὰ τὴν ἐκ τῆς οἰκίας ἔξοδον τοῦ νεκροῦ, ὡς καὶ κατὰ τὴν διάλυσιν ἐκ συγγενικῆς οἰκίας αὐτοῦ, ὅπερ εἴθισται εἴς τινα μέρη, ἀποκαλεῖται δὲ παραλόγως τρισάγιον, καταδικαστέα ἐστίν, ὡς αὐθαίρετος, παράτυπος καὶ ἄθεσμος.

SISMANOGLIO MEGARO

Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἡ δὲ εὐσεβὴς συνοδεία παρακολουθεῖ ἐν σιγῇ, μετὰ θρησκευτικῆς εὐλαβείας καὶ χριστιανικῆς σεμνοπρεπείας καὶ εὐκοσμίας.

### γ'. Ἐν τῇ Ἐκκλησίᾳ.

Μετὰ τὴν εἴσοδον εἰς τὴν Ἐκκλησίαν, ἕκαστος ἐκ τοῦ ἱεροῦ κλήρου καταλαμβάνει τὴν ἀνήκουσαν αὐτῷ θέσιν[1]. Ἀποτιθεμένου δὲ τοῦ νεκροῦ ἐν τῷ μέσῳ τῆς Ἐκκλησίας, ἄρχεται ἡ ἀκολουθία ὡς ἑξῆς·

**Ὁ διάκονος·** Εὐλόγησον Δέσποτα.

**Ὁ ἱερεύς·** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ εὐθὺς ψάλλεται·

### ΕΙΣ ΤΑ ΜΕΘΕΟΡΤΑ ΤΟΥ ΠΑΣΧΑ.

**Ὁ ἱερεύς· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.**

**Χορὸς α'. Χριστὸς ἀνέστη . . . . .**

**Χορὸς β'. Χριστὸς ἀνέστη . . . . .**

Εἶτα

1. Πολλοὶ Ἀρχιερεῖς ἀποφεύγουσι τὸ «Εἰς πολλὰ ἔτη Δέσποτα» ἐν τῇ νεκρωσίμῳ ἀκολουθίᾳ, ἀπ' εὐθείας ἀνερχόμενοι εἰς τὸν ἀρχιερατικὸν θρόνον. Ἐπίσης καὶ «Τὸν Δεσπότην καὶ Ἀρχιερέα . . . . .» κατὰ τὴν ἀπόλυσιν. Ὅπερ πολὺ εὔλογον καὶ ἀσπαστόν.

SISMANOGLIO
MEGARO



## Ὁ Ἄμωμος.

## ΣΤΑΣΙΣ Α'.

Ἦχος πλ. β'.

**Χορὸς α'.** Στίχ. 1. Ἄμωμοι ἐν ὁδῷ Ἀλληλούϊα. Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἀλληλούϊα.

**Χορὸς β'.** Στίχ. 2. Ἐπεπόθησεν ἡ ψυχή μου, τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου, ἐν παντὶ καιρῷ. Ἀλληλούϊα.

**Χορὸς α'.** Στίχ. 3. Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ἀλληλούϊα.

**Χορὸς β'.** Στίχ. 4. Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Ἀλληλούϊα.

**Χορὸς α'.** Στίχ. 5. Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν, τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ἀλληλούϊα.

**Χορὸς β'.** Στίχ. 6. Μέτοχος ἐγώ εἰμι, πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Ἀλληλούϊα.

**Χορὸς α'.** Δόξα Πατρί, καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν. Ναί, Ἀλληλούϊα.

**Ὁ διάκονος·** Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου (ἢ τῆς κεκοιμημένης δούλης) τοῦ Θεοῦ . . . . καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ (ἢ αὐτῇ) πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ (ἢ αὐτῆς) ἔνθα οἱ δίκαιοι ἀναπαύονται. Τὰ ἐλέη τοῦ Θεοῦ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν αὐτοῦ (ἢ αὐτῆς) ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ ἱερεύς.**

---

## ΕΙΣ ΝΗΠΙΑ.

Ὁ φυλάσσων τὰ νήπια, Κύριε, ἐν τῷ παρόντι βίῳ, ἐν δὲ τῷ μέλλοντι, διὰ τὸ τῆς γνώμης ἁπλοῦν καὶ ἀνεύθυνον, τοὺς Ἀβραμιαίους κόλπους ἀποπληρῶν καὶ φωτοειδέσι τόποις κατασκηνῶν, ἐν οἷς αὐλίζεται τῶν δικαίων τὰ πνεύματα, πρόσδεξαι ἐν εἰρήνῃ καὶ τοῦ δούλου (ἢ τῆς δούλης) σου . . . . τὴν ψυχήν· αὐτὸς γὰρ εἶπας, τῶν τοιούτων εἶναι τὴν βασιλείαν τῶν οὐρανῶν.

Ἀντὶ τῆς εὐχῆς «Ὁ Θεὸς τῶν πνευμάτων . . .».

---

( Ἡ εὐχὴ ἡ παραλειπομένη **εἰς Νήπια** ).

Ὁ Θεὸς τῶν πνευμάτων[1] καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος· αὐτὸς, Κύριε, ἀνάπαυσον καὶ τὴν ψυχὴν τοῦ κεκοιμημένου δούλου (ἢ τῆς κεκοιμημένης δού-

1. Ἡ ἀνάγνωσις τῆς εὐχῆς «Ὁ Θεὸς τῶν πνευμάτων . . .» ἐνταῦθα, ἤτοι μετὰ τὴν α' Στάσιν, εὐλογωτέρα κρίνεται, διότι εἰς τὸ τέλος ἀλεπάλληλα ἔρχονται τὰ Ἀναγνώσματα. Ὁ Ἀπόστολος, τὸ εὐαγγέλιον, ἡ α' συγχωρητικὴ εὐχή, Ἀρχιερέως ὑπάρχοντος καὶ ἡ Ἀπόλυσις.

SISMANOGLIO MEGARO



λης) σου . . . . . . . ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη, καὶ στεναγμός. πᾶν ἁμάρτημα τὸ παρ' αὐτοῦ (ἢ παρ' αὐτῆς) πραχθὲν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται ἐπὶ τῆς γῆς, καὶ οὐχ ἁμαρτήσει. Σὺ γὰρ μόνος, Κύριε, ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου ἀλήθεια.

---

Εἶτα

**Ὁ διάκονος·** Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ ἱερεύς·** Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου (ἢ τῆς κεκοιμημένης δούλης) σου . . . . . Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΣΤΑΣΙΣ Β'.

Ἦχος πλ. α'.

**Χορὸς β'.** Στίχ. 1. Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου. Ἐλέησόν με Κύριε.

**Χορὸς α'.** Στίχ. 2. Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἐλέησόν με Κύριε.

**Χορὸς β'.** Στίχ. 3. Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐλέησόν με Κύριε.

**Χορὸς α'.** Στίχ. 4. Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. Ἐλέησόν με Κύριε.

**Χορὸς β'.** Στίχ. 5. Ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. Ἐλέησόν με Κύριε.

**Χορὸς α'.** Στίχ. 6. Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου. Ἐλέησόν με Κύριε.

**Χορὸς β'.** Δόξα Πατρί, καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν. Ἐλέησόν με Κύριε, Κύριε.

**Ὁ διάκονος**[1]. Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ ἱερεύς·** Ὅτι σὺ εἶ ἡ Ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου (ἢ τῆς κεκοιμημένης δούλης) σου, . . . . Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΣΤΑΣΙΣ Γ'.

Ἦχος πλ. δ'.

**Χορὸς α'.** Στίχ. 1. Καὶ ἐλέησόν με Ἀλληλούϊα. Ἐπίβλεψον ἐπ' ἐμέ, καὶ ἐλέησόν με, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Ἀλληλούϊα.

1. Ἐὰν ὦσι δύο ἢ πλείονες ἱερεῖς. Ἄλλως, μετὰ τὸ Ἐλέησόν με Κύριε, Κύριε, ἀμέσως ἄρχεται ἡ Γ'. Στάσις.

SISMANOGLIO



**Χορὸς β'.** Στίχ. 2. Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἀλληλούϊα.

**Χορὸς α'.** Στίχ. 3. Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρίμα σου ζῆσόν με. Ἀλληλούϊα.

**Χορὸς β'.** Στίχ. 4. Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Ἀλληλούϊα.

**Χορὸς α'.** Στίχ. 5. Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός, ζήτησον τὸν δοῦλον (ἢ τὴν δούλην) σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

**Ὁ διάκονος**[1]. Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ ἱερεύς.** Ὅτι σὺ εἶ ἡ Ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου (ἢ τῆς κεκοιμημένης δούλης) σου, . . . . Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εὐθὺς ψάλλονται.

### Τὰ Νεκρώσιμα Εὐλογητάρια.

Ἦχος πλ. α'.

**Χορὸς β'.** Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἁγίων ὁ χορός, εὗρε πηγὴν τῆς ζωῆς, καὶ θύραν Παραδείσου· εὕρω κἀγώ, τὴν ὁδὸν διὰ τῆς μετα-

1. Ἐὰν ὦσι τρεῖς ἢ πλείονες ἱερεῖς. Ἄλλως, μετὰ τὸ οὐκ ἐπελαθόμην, ἀμέσως ἄρχονται τὰ Νεκρώσιμα Εὐλογητάρια.

νοίας· τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι· ἀνακάλεσαί με Σωτὴρ καὶ σῶσόν με[1].

**Χορὸς α΄.** Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ὁ πλάσας ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με, ἐπιστρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ' ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

**Χορὸς β΄.** Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. .

Εἰκών εἰμι, τῆς ἀρρήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων· οἰκτείρησον, τὸ σὸν πλάσμα Δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ, καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, Παραδείσου πάλιν ποιῶν πολίτην με.

**Χορὸς α΄.** Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἀνάπαυσον ὁ Θεὸς τὸν δοῦλον (ἢ τὴν δούλην) σου καὶ κατάταξον αὐτὸν (ἢ αὐτὴν) ἐν Παραδείσῳ, ὅπου χοροὶ τῶν Ἁγίων, Κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες· τὸν κεκοιμημένον δοῦλον (ἢ τὴν κεκοιμημένην δούλην) σου ἀνάπαυσον, παρορῶν αὐτοῦ (ἢ αὐτῆς) πάντα τὰ ἐγκλήματα.

---

1. Ἐὰν ὦσι πλείονες τῶν τριῶν ἱερεῖς, εἰς τὸ τέλος ἑκάστου τροπαρίου.

**Ὁ διάκονος** ἐκφωνεῖ· Τοῦ Κυρίου δεηθῶμεν.

**Οἱ δὲ ἱερεῖς** καθ' ἱεραρχικὴν σειρὰν ἕκαστος ἐκ τῶν μὴ ἐκφωνησάντων· Ὅτι σὺ εἶ ἡ ἀνάστασις κτλ. Ἤτοι αἱ ἐκφωνήσεις γίνονται κατὰ τὸν ἀριθμὸν τῶν ἱερέων.



**Χορὸς β΄.** Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τὸ τρισλαμπὲς τῆς μιᾶς Θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱὸς καὶ θεῖον Πνεῦμα. Φώτισον ἡμᾶς πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

**Χορὸς α΄.** Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Χαῖρε σεμνή, ἡ Θεὸν σαρκὶ τεκοῦσα εἰς πάντων σωτηρίαν, δι' ἧς γένος τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν. Διὰ σοῦ εὕροιμεν Παράδεισον, Θεοτόκε ἁγνὴ εὐλογημένη.

**Χορὸς β΄.** Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός.

**Χορὸς α΄.** Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός.

**Χορὸς β΄.** Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός, καὶ ἀνάπαυσον τὸν δοῦλον (ἢ τὴν δούλην) σου.

Εἶτα τὰ

---

## ΕΙΣ ΝΗΠΙΑ.

Τὰ Νεκρώσιμα Ἰδιόμελα

**Ἐγκαταλιμπάνονται.**

---

( Τὰ παραλειπόμενα εἰς Νήπια )

## Νεκρώσιμα Ἰδιόμελα.

Ἦχος α΄.

**Χορὸς α΄.** Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; ποία δόξα ἕστηκεν ἐπὶ γῆς ἀμετάθετος; Πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα· μία ῥοπή, καὶ ταῦτα πάντα θάνατος διαδέχεται· ἀλλ' ἐν τῷ φωτί, Χριστὲ τοῦ προσώπου σου, καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, ὃν (ἢ ἣν) ἐξελέξω ἀνάπαυσον ὡς φιλάνθρωπος.

Ἦχος β΄.

**Χορὸς β΄.** Ὡς ἄνθος μαραίνεται, καὶ ὡς ὄναρ παρέρχεται καὶ διαλύεται πᾶς ἄνθρωπος· πάλιν δὲ ἠχούσης τῆς σάλπιγγος, νεκροὶ ὡς ἐν συσεισμῷ, πάντες ἀναστήσονται, πρὸς τὴν σὴν ὑπάντησιν, Χριστὲ ὁ Θεός· τότε Δέσποτα, **ὃν** (ἢ **ἣν**) μετέστησας ἐξ ἡμῶν, ἐν ταῖς τῶν Ἁγίων σου κατάταξον σκηναῖς, τὸ πνεῦμα τοῦ σοῦ δούλου, Χριστέ.

Ἦχος γ΄.

**Χορὸς α΄.** Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ' ὑπάρχει μετὰ θάνατον· οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὰρ ὁ θάνατος ταῦτα πάντα ἐξηφάνισται· διὸ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ βοήσωμεν, **τὸν μεταστάντα** (ἢ **τὴν μεταστᾶσαν**) ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία.



Ἦχος δ΄.

**Χορὸς β΄.** Ὄντως φοβερώτατον, τὸ τοῦ θανάτου μυστήριον, πῶς ψυχὴ ἐκ τοῦ σώματος, βιαίως χωρίζεται ἐκ τῆς ἁρμονίας, καὶ τῆς συμφυΐας ὁ φυσικώτατος δεσμός, θείῳ βουλήματι ἀποτέμνεται. διὸ σὲ ἱκετεύομεν, **τὸν μεταστάντα** (ἢ **τὴν μεταστᾶσαν**) ἀνάπαυσον, ἐν σκηναῖς τῶν δικαίων σου, ζωοδότα φιλάνθρωπε.

Ἦχος πλ. α΄.

**Χορὸς α΄.** Ἐμνήσθην τοῦ προφήτου βοῶντος, ἐγώ εἰμι γῆ καὶ σποδός· καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι, καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα καὶ εἶπον· ἄρα τίς ἐστι· βασιλεύς, ἢ στρατιώτης; ἢ πλούσιος, ἢ πένης; ἢ δίκαιος, ἢ ἁμαρτωλός; Ἀλλὰ ἀνάπαυσον, Κύριε, μετὰ δικαίων **τὸν δοῦλόν** (ἢ **τὴν δούλην**) **σου** ὡς φιλάνθρωπος.

Ἦχος πλ. β΄.

**Χορὸς β΄.** Ἀρχή μοι καὶ ὑπόστασις, τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε καὶ ὁρατῆς με ζῶον συμπῆξαι φύσεως· γῆθέν μου τὸ σῶμα διέπλασας, δέδωκας δέ μοι ψυχήν, τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει· διὸ Χριστὲ τὸν δοῦλον (ἢ **τὴν δούλην**) σου ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς δικαίων κατάταξον.

Ἦχος βαρύς.

**Χορὸς α΄.** Ἀνάπαυσον Σωτὴρ ἡμῶν ζωοδότα, ὃν μετέστησας ἀδελφὸν (ἢ **ἣν μετέστησας ἀδελφὴν**), ἡμῶν ἐκ τῶν προσκαίρων κράζοντα (ἢ **κράζουσαν**), δόξα σοι.

Ἦχος πλ. δ΄.

**Χορὸς β΄.** Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον· καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ' εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος. Ὢ τοῦ θαύματος! τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ, καὶ συνεζεύχθημεν τῷ θανάτῳ; ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται, τοῦ παρέχοντος τῷ μεταστάντι (ἢ τῇ μεταστάσῃ) τὴν ἀνάπαυσιν.

**Χορὸς α΄.** Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ θάνατός σου, Κύριε, ἀθανασίας γέγονε πρόξενος, εἰ μὴ γὰρ ἐν μνήματι κατετέθης, οὐκ ἂν ὁ παράδεισος ἠνέωκτο· δι' ὃ τὸν μεταστάντα (ἢ **τὴν μεταστᾶσαν**) ἀνάπαυσον, ὡς φιλάνθρωπος.

**Χορὸς β΄.** Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγνὴ Παρθένε, τοῦ Λόγου Πύλη, τοῦ Θεοῦ ἡμῶν μήτηρ, ἱκέτευε, ἐλεηθῆναι τὴν ψυχὴν αὐτοῦ (ἢ **αὐτῆς**).

©SISMANOGLIO



## Ὁ Ἀπόστολος

Ὁ **ἀναγνώστης.**

Προκείμενον. Ἦχος τρίτος.

Μακαρία ἡ ὁδός, ᾗ πορεύῃ σήμερον, ὅτι ἡτοιμάσθη σοι τόπος ἀναπαύσεως.

Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Εἶτα

---

## ΕΙΣ ΝΗΠΙΑ

Πρὸς Ρωμαίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ὁ **Διάκονος.** Πρόσχωμεν.

**Ὁ Ἀναγνώστης.**

Ἀδελφοί, ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ, οὐ φρονεῖ. Ὁ ἐσθίων Κυρίῳ ἐσθίει· εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ. Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει. Ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν τῷ Κυρίῳ ἀποθνήσκομεν. Ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν τοῦ Κυρίου ἐσμέν. Εἰς τοῦτο γὰρ Χριστὸς καὶ ἀπέθανε καὶ ἀνέστη καὶ ἀνέζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.

---

Πρὸς Θεσσαλονικεῖς Πρώτης ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ὁ **Διάκονος.** Πρόσχωμεν.

### Ὁ ἀναγνώστης.

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

**Χορὸς α΄.** Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.

**Χορὸς β΄.** Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.

**Χορὸς α΄.** Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.

### Τὸ Εὐαγγέλιον

Ὁ **Διάκονος.** Σοφία, Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ **Ἱερεύς.** Εἰρήνη πᾶσι.

Εἶτα

SISMANOGLIO MEGARO



## ΕΙΣ ΝΗΠΙΑ

**Ὁ Ἱερεύς.**

Ἐκ τοῦ κατὰ Λουκᾶν Ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ **Διάκονος.** Πρόσχωμεν.

**Ὁ Ἱερεύς.**

Τῷ καιρῷ ἐκείνῳ προσέφεραν τῷ Ἰησοῦ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται· ἰδόντες δὲ οἱ Μαθηταί, ἐπετίμησαν αὐτοῖς. Ὁ δὲ Ἰησοῦς, προσκαλεσάμενος αὐτὰ εἶπεν. Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξητε τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· καὶ τίς δύναται σωθῆναι; Ὁ δὲ εἶπε, τὰ ἀδύνατα παρ' ἀνθρώποις, δυνατά ἐστι παρά τῷ Θεῷ.

---

Ἐκ τοῦ κατὰ Ἰωάννην Ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ **Διάκονος.** Πρόσχωμεν.

Ὁ **Ἱερεύς.**

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους. Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ· καὶ οἱ ἀκούσαν-

τες ζήσονται. Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. Καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ, καὶ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου ἐστί. Μὴ θαυμάζετε τοῦτο, ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν· καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.

**Χορός α'.** Δόξα σοι Κύριε. Δόξα σοι.

Ὁ **Διάκονος.** Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ ἱερεύς·** Τὴν **ΑΠΟΛΥΣΙΝ**[1].

---

1. Ὡς προδιετυπώθη (σελ. 20. 21. 26, 27.). Μετὰ τὴν εὐχήν. «Ὁ Θεὸς τῶν πνευμάτων. . . » ἢ μετὰ τὴν ἀντ' αὐτῆς λεγομένην εὐχὴν τῶν Νηπίων. «Ὁ φυλάσσων τὰ Νήπια, Κύριε. . . . ». Ἐκφωνεῖται ὑπὸ τοῦ ἱερέως «Ὅτι σὺ εἶ ἡ ἀνάστασις . . . . ». Ὅπερ ἐπαναλαμβάνεται, ἐὰν συμμετέχωσιν εἰς τὴν κηδείαν καὶ ἄλλοι ἱερεῖς, ὑφ' ἑκάστου τούτων, μετὰ τὴν Β'. καὶ Γ'. Στάσιν, καὶ εἰς τὸ τέλος τροπαρίου τῶν Νεκρωσίμων Εὐλογηταρίων, ἢ τοῦ Ἀλληλούϊα· προεκφωνοῦντος τοῦ διακόνου. Τοῦ Κυρίου δεηθῶμεν. (Ἴδε σελ. 28. 29. 30.).

Ἐπειδὴ δὲ τὰ τροπάρια τῶν Νεκρωσίμων Εὐλογηταρίων εἰσὶν ἕξ, τὸ δὲ Ἀλληλούϊα λέγεται τρίς, ἀνὰ τρίς. Ἐὰν συμμετέχωσιν εἰς τὴν κηδείαν ἱερεῖς περισσότεροι τῶν δώδεκα (12),

SISMANOGLIO MEGARO



Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

AT 313

Ὁ καὶ νεκρῶν καὶ ζώντων τὴν ἐξουσίαν ἔχων, ὡς ἀθάνατος βασιλεύς, καὶ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου ἁγίας αὐτοῦ μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων ἐνδόξων Προπατόρων, Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, τοῦ ἁγίου καὶ δικαίου τετραημέρου φίλου τοῦ Χριστοῦ Λαζάρου καὶ πάντων τῶν Ἁγίων· καὶ τὴν ψυχὴν τοῦ ἐξ ἡμῶν μεταστάντος δούλου (**ἢ τῆς ἐξ ἡμῶν μεταστάσης δούλης**) αὐτοῦ . . . . . . ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαῦσαι, καὶ μετὰ ἁγίων καὶ δικαίων συναριθμῆσαι, καὶ ἡμᾶς ἐλεῆσαι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ ἐλεήμων Θεός.

Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ (**ἡ ἀδελφὴ**) ἡμῶν. Αἰωνία σου ἡ μνήμη, Αἰωνία σου ἡ μνήμη.

Εἶτα

Ἄρχεται ὁ ἀσπασμός· καὶ ψάλλεται.

---

ἐνταῦθα, πρὸ τῆς Ἀπολύσεως, οἱ μὴ ἐκφωνήσαντες ἱερεῖς ἐκφωνοῦσι καθ' ἱεραρχικὴν σειρὰν ἕκαστος. «Ὅτι σὺ εἶ ἡ ἀνάστασις. . . . . » τοῦ Διακόνου προεκφωνοῦντος ἐν ἑκάστῃ ἐκφωνήσει· τοῦ Κυρίου δεηθῶμεν.

Ὅθεν ἐν πάσῃ περιπτώσει, ὅσοι ἱερεῖς ὑπάρχουσι, τόσαι καὶ ἐκφωνήσεις γίνονται.

## ΕΙΣ ΤΑ ΜΕΘΕΟΡΤΑ ΤΟΥ ΠΑΣΧΑ.

**Ἀναστάσεως ἡμέρα καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει. Καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοὶ καὶ τοῖς μισοῦσιν ἡμᾶς. Συγχωρήσωμεν πάντα τῇ ἀναστάσει. Καὶ οὕτω βοήσωμεν. Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.**

**Ὁ ἱερεύς. Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.**

Ἀντὶ τοῦ «Δι' εὐχῶν. . . . ».

## ΕΙΣ ΝΗΠΙΑ

**(Ἐν τῇ Συνήθει Νεκρωσίμῳ Ἀκολουθίᾳ).**

Μετὰ τὴν **Ἀπόλυσιν** ἄρχεται ὁ ἀσπασμός· καὶ ψάλλονται τὰ ἑξῆς τροπάρια.

Ἦχος πλ. δ'. **Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τίς μὴ θρηνήσει, τέκνον μου, τὴν ἐκ τοῦ βίου ἡμῖν, πενθηρὰν σου μετάστασιν; ὅτι βρέφος ἄωρον, ἐκ μητρικῶν ἀγκαλῶν νῦν, ὥσπερ στρουθίον τάχος ἐπέτασας, καὶ πρὸς τὸν κτίστην πάντων κατέφυγες; Ὢ τέκνον τίς ποτε, μὴ θρηνήσει βλέπων σου τὸ ἐμφανὲς, πρόσωπον εὐμάραντον, τὸ πρὶν ὡς ῥόδον τερπνόν;



Ὢ τίς μὴ στενάξει τέκνον μου, καὶ μὴ βοήσει κλαυθμῷ, τὴν πολλήν σου εὐπρέπειαν, καὶ τὴν ὡραιότητα, τῆς ἁγνῆς πολιτείας σου; ὥσπερ γὰρ ναῦς τις, ἴχνος οὐκ ἔχουσα, οὕτως ὑπέδυς ἐξ ὀφθαλμῶν μου ταχύ. Δεῦτε οἱ φίλοι μου, συγγενεῖς καὶ γείτονες, ἅμα ἐμοί, τοῦτο ἀσπασώμεθα, τάφῳ ἐκπέμποντες.

Ἀντὶ τοῦ «Δεῦτε τελευταῖον. . . . ».

(Τὸ τροπάριον τὸ παραλειπόμενον **Εἰς τὰ Μεθέορτα τοῦ Πάσχα**).

(Ἐπίσης καὶ **Εἰς Νήπια**).

Ἦχος β'.

**Χορὸς β'.** Δεῦτε τελευταῖον ἀσπασμὸν, δῶμεν ἀδελφοὶ τῷ θανόντι (**ἢ τῇ θανούσῃ**), εὐχαριστοῦντες Θεῷ· οὗτος (**ἢ αὕτη**) γὰρ ἐξέλιπε τῆς συγγενείας αὐτοῦ (**ἢ αὐτῆς**)· καὶ πρὸς τάφον ἐπείγεται, οὐκ ἔτι φροντίζων (**ἢ φροντίζουσα**) τὰ τῆς ματαιότητος καὶ πολυμόχθου σαρκός· οὗ (**ἢ ἧς**) νῦν συγγενεῖς τε καὶ φίλοι, ἄρτι χωριζόμεθα ὅνπερ (**ἢ ἥνπερ**) ἀναπαῦσαι Κύριος εὐξώμεθα.

**Ὁ ἱερεύς.** Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

### ΣΗΜΕΙΩΣΙΣ

Ἂν ὑπάρχῃ Ἀρχιερεύς.

Ἀναγινώσκει πρὸ τῆς ἀπολύσεως τὴν α' συγχωρητικὴν εὐχήν.

Εἰς ΝΗΠΙΑ, οὐχί. Οὐδὲν δὲ λέγει ἐνταῦθα. Διότι ἡ εὐχὴ τῶν νηπίων, ἀναγινώσκεται μετὰ τὴν Α' Στάσιν τοῦ 'Αμώμου, ὡς προδιετυπώθη (σελ. 26).

**Πρώτη συγχωρητικὴ εὐχή.**

**Ὁ Διάκονος.** Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ Ἀρχιερεύς.**

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ ἀρρήτῳ σοφίᾳ δημιουργήσας τὸν ἄνθρωπον ἐκ τοῦ χοός, καὶ τοῦτον ἀναμορφώσας εἰς εἶδος καὶ κάλλος, καὶ ἐξωραΐσας ὡς τίμιον καὶ οὐράνιον κτῆμα, εἰς δοξολογίαν καὶ εὐπρέπειαν τῆς σῆς δόξης καὶ βασιλείας, διὰ τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τοῦτον παραγαγεῖν· τὴν ἐντολὴν δὲ παραβάντα τοῦ σοῦ προστάγματος καὶ μεταλαβόντα τῆς εἰκόνος καὶ μὴ φυλάξαντα· καὶ διὰ τοῦτο, ἵνα μὴ τὸ κακὸν ἀθάνατον γένηται, φιλανθρώπως κελεύσας τὴν κρᾶσιν καὶ μίξιν ταύτην, καὶ τὸν ἄρρητόν σου τοῦτον δεσμόν, ὡς Θεὸς τῶν Πατέρων ἡμῶν, τῷ θείῳ βουλήματι ἀποτέμνεσθαι καὶ διαλύεσθαι. Ὥστε τὴν μὲν ψυχὴν ἐκεῖσε χωρεῖν, ἔνθα καὶ τὸ εἶναι προσελάβετο, μέχρι τῆς κοινῆς ἀναστάσεως, τὸ δὲ σῶμα εἰς τὰ ἐξ ὧν συνετέθη ἀναλύεσθαι· Διὰ τοῦτο δεόμεθα σοῦ τοῦ ἀνάρχου Πατρὸς καὶ τοῦ Μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ Παναγίου, καὶ ὁμοουσίου, καὶ ζωοποιοῦ σου Πνεύματος, ἵνα μὴ παρίδῃς τὸ σὸν πλάσμα καταποθῆναι τῇ ἀπωλείᾳ· ἀλλὰ τὸ μὲν σῶμα διαλυθῆναι εἰς τὰ ἐξ ὧν συνετέθη, τὴν δὲ ψυχὴν καταταγῆναι ἐν τῷ χορῷ τῶν δικαίων. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, νικησάτω σου τὸ ἄμετρον ἔλεος, καὶ ἡ φιλανθρωπία ἡ ἀνείκαστος· καὶ εἴτε ὑπὸ κατάραν, πατρὸς, ἢ μητρὸς, εἴτε τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσεν ὁ δοῦλός σου οὗτος (**ἢ ἡ δούλη σου αὕτη**), εἴτε τινὰ τῶν Ἱερωμένων παρεπίκρανε καὶ παρ' αὐτοῦ δεσμὸν ἄλυτον ἐδέξατο, εἴτε ὑπὸ Ἀρχιερέως βαρυτάτῳ ἀφορισμῷ περιέπεσε καὶ ἀμελείᾳ καὶ ῥαθυμίᾳ χρησάμενος (**ἢ χρησαμένη**) οὐκ ἔτυχε συγχωρήσεως, συγχώρησον αὐτῷ (**ἢ αὐτῇ**) δι' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου· καὶ τὸ μὲν σῶμα αὐτοῦ (**ἢ αὐτῆς**) εἰς τὰ ἐξ ὧν συνετέθη διάλυσον, τὴν δὲ ψυχὴν αὐτοῦ (**ἢ αὐτῆς**) ἐν σκηναῖς ἁγίων κατάταξον. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοῖς ἁγίοις σου Μαθηταῖς καὶ Ἀποστόλοις τὴν ἐξουσίαν δοὺς ταύτην, ὥστε τῶν ἁμαρτημάτων διδόναι τὴν ἄφεσιν καὶ εἰπών· Ὅσα ἂν δήσητε, καὶ λύσητε, ἵνα ὦσι δεδεμένα, καὶ λελυμένα· δι' αὐτῶν δὲ καὶ εἰς ἡμᾶς, εἰ καὶ ἀναξίους, ὡσαύτως τὴν τηλικαύτην δωρεὰν φιλανθρώπως διαβιβάσας, λῦσον τὸν κοιμηθέντα δοῦλον (**ἢ τὴν κοιμηθεῖσαν δούλην**) σου τοῦ ψυχικοῦ καὶ σωματικοῦ ἁμαρτήματος, καὶ ἔστω συγκεχωρημένος (**ἢ συγκεχωρημένη**), καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι· πρεσβείαις τῆς παναχράντου καὶ ἀειπαρθένου σου Μητρὸς, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

### Δευτέρα Συγχωρητικὴ εὐχή[1].

**Ὁ Διάκονος.** Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ β΄ Ἀρχιερεύς.**

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τὰς κλεῖς τῆς τῶν οὐρανῶν Βασιλείας, καὶ τῇ σῇ χάριτι τὴν τοῦ δεσμεῖν καὶ λύειν τὰς τῶν ἀνθρώπων ἁμαρτίας μετὰ τὴν ἁγίαν σου ἐκ νεκρῶν τριήμερον Ἐξανάστασιν, τοῖς σοῖς ἁγίοις Μαθηταῖς, καὶ ἱεροῖς Ἀποστόλοις δωρησάμενος ἐξουσίαν, ὥστε δεδεμένα εἶναι καὶ ἐν τῷ οὐρανῷ, ὅσα δι' αὐτῶν ἐν γῇ δέδενται, καὶ λελυμένα ὡσαύτως ἐν τῷ οὐρανῷ, ὅσα δι' αὐτῶν ἐν γῇ λέλυνται· διαδόχους δὲ ἡμᾶς τοὺς εὐτελεῖς καὶ ἀναξίους δούλους σου, τῆς αὐτῆς ταύτης παρὰ σοῦ ὑπεραγίας δωρεᾶς τε καὶ χάριτος, τῇ ἀφάτῳ σου φιλανθρωπίᾳ καταξιώσας γενέσθαι, ὥστε καὶ ἡμᾶς οὕτω δεσμεῖν τε καὶ λύειν τὰ ἐν τῷ λαῷ σου συμβαίνοντα. Αὐτός, πανάγαθε Βασιλεῦ, δι' ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀναξίου δούλου σου, συγχώρησον τῷ δούλῳ (**ἢ τῇ δούλῃ**) σου, εἴτε ἐν τῷ παρόντι βίῳ ὡς ἄνθρωπος ἐπλημμέλησε, καὶ ἄφες αὐτῷ (**ἢ αὐτῇ**),

---

1. Ἡ εὐχὴ αὕτη λέγεται, ὅταν ὑπάρχωσι δύο ἢ πλείονες Ἀρχιερεῖς.
Ἀναγινώσκεται δὲ ὑπὸ τοῦ β΄ Ἀρχιερέως, ὡς προελέχθη (σελ. 16). Ἐπίσης ἀναγινώσκεται ὑπὸ Ἀρχιερέως ἐν τρισαγίῳ ἐπὶ τοῦ τάφου.

SISMANOGLIO



ὅσα ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν ἥμαρτε, λύσας αὐτῷ (**ἢ αὐτῇ**) καὶ τὸν ἐπικείμενον καθ' οἱονδήποτε τρόπον δεσμόν, ὃν αὐτὸς καθ' ἑαυτόν, (**ἢ αὐτὴ καθ' ἑαυτὴν**) ἐκ συναρπαγῆς ἢ ἄλλης τινὸς αἰτίας ἔδησε, εἴτε ὑπὸ Ἀρχιερέως, εἴτε παρ' ἄλλου τινός, φθόνῳ καὶ συνεργίᾳ τοῦ πονηροῦ, τοιοῦτο ὑπέστη ὀλίσθημα, εὐδόκησον ὡς μόνος ἀγαθὸς καὶ πολυέλεος, τὴν μὲν ψυχὴν αὐτοῦ (**ἢ αὐτῆς**) μετὰ τῶν ἁγίων ταχθῆναι τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, τὸ δὲ σῶμα τῇ παρὰ σοῦ δημιουργηθείσῃ φύσει δοθῆναι. Ὅτι εὐλογητὸς καὶ δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

### δ΄. Ἐκφορὰ ἐκ τῆς Ἐκκλησίας.

Μεταφερομένου τοῦ νεκροῦ εἰς τὸ νεκροταφεῖον, ψάλλεται.

---

## ΕΙΣ ΤΑ ΜΕΘΕΟΡΤΑ ΤΟΥ ΠΑΣΧΑ.

**Ἀναστάσεως ἡμέρα καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς, συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν·** Χριστὸς **ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.**

Ἀντὶ τοῦ «**Θρηνῶ καὶ ὀδύρομαι. . . .**».

---

Ἦχος πλ. δ'.

Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ' εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος. Ὢ τοῦ θαύματος!, τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ καὶ συνεζεύχθημεν τῷ θανάτῳ; ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται, τοῦ παρέχοντος τῷ μεταστάντι (**ἢ τῇ μεταστάσῃ**) τὴν ἀνάπαυσιν.

---

### ε'. Ἐν τῷ τάφῳ.

Ἀναγινώσκεται τὸ νεκρώσιμον τρισάγιον, ὡς ἐν τῷ οἴκῳ (σελ. 17—22). Μετὰ δὲ τὴν κατάθεσιν τοῦ νεκροῦ εἰς τὸν τάφον, ὁ ἱερεὺς ἄρας χοῦν διὰ τοῦ πτύου, ρίπτει αὐτὸν ἐπὶ τοῦ νεκροῦ σταυροειδῶς λέγων.

«Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ».

---

## Β'. ΝΕΚΡΩΣΙΜΟΣ ΑΚΟΛΟΥΘΙΑ.

Ἐν τῇ Διακαινησίμῳ ἑβδομάδι καὶ
ἐν τῇ ἡμέρᾳ τῆς ἀποδόσεως τοῦ Πάσχα.

Ἐν ᾗ συμπεριλαμβάνεται καὶ ἡ ἐν ταῖς περιπτώσεσι ταύταις **εἰς Νήπια**.

### α'. Ἐν τῷ οἴκῳ.

Μετὰ τὴν εἰθισμένην προετοιμασίαν τοῦ ἱεροῦ κλήρου (σελ. 17).



**Ὁ διάκονος.** Εὐλόγησον Δέσποτα.

**Ὁ ἱερεύς.** Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

**Ὁ διάκονος.** Χριστὸς ἀνέστη. . . . .

**Ὁ ἱερεύς.** Χριστὸς ἀνέστη. . . . .

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

**Ὁ διάκονος.** Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου (**ἢ τῆς κεκοιμημένης δούλης**) τοῦ Θεοῦ . . . . , καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ (**ἢ αὐτῇ**) πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ (**ἢ αὐτῆς**), ἔνθα οἱ Δίκαιοι ἀναπαύονται. Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν αὐτοῦ (**ἢ αὐτῆς**) ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Τοῦ Κυρίου δεηθῶμεν.

SISMANOGLIO

**Ὁ ἱερεύς.**

## ΕΙΣ ΝΗΠΙΑ.

Ὁ φυλάσσων τὰ νήπια, Κύριε, ἐν τῷ παρόντι βίῳ, ἐν δὲ τῷ μέλλοντι, διὰ τὸ τῆς γνώμης ἁπλοῦν καὶ ἀνεύθυνον, τοὺς Ἀβραμιαίους κόλπους ἀποπληρῶν καὶ φωτοειδέσι τόποις κατασκηνῶν, ἐν οἷς αὐλίζεται τῶν δικαίων τὰ πνεύματα, πρόσδεξαι ἐν εἰρήνῃ καὶ τοῦ δούλου (ἢ τῆς δούλης) σου .... τὴν ψυχήν· αὐτὸς γὰρ εἶπας, τῶν τοιούτων εἶναι τὴν βασιλείαν τῶν οὐρανῶν.

Ἀντὶ τῆς εὐχῆς «Ὁ Θεὸς τῶν πνευμάτων ...».

(Ἡ εὐχὴ ἡ παραλειπομένη **εἰς Νήπια**).

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος· αὐτός, Κύριε, ἀνάπαυσον καὶ τὴν ψυχὴν τοῦ κεκοιμημένου δούλου (ἢ τῆς κεκοιμημένης δούλης) σου ...... ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη, καὶ στεναγμός. πᾶν ἁμάρτημα τὸ παρ' αὐτοῦ (ἢ παρ' αὐτῆς) πραχθὲν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται ἐπὶ τῆς γῆς, καὶ οὐχ ἁμαρτήσει. Σὺ γὰρ μόνος, Κύριε, ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου ἀλήθεια.

SISMANOGLIO MEGARO



**Ὁ διάκονος.** Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ ἱερεύς·** Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου (ἢ τῆς κεκοιμημένης δούλης) σου ..... Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Ὁ διάκονος·** Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Ὁ ἱερεύς·** Τὴν **ΑΠΟΛΥΣΙΝ**.

Δόξα σοι Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν δόξα σοι. Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, καὶ πάντων τῶν Ἁγίων, καὶ τὴν ψυχὴν τοῦ ἐξ ἡμῶν μεταστάντος δούλου **(ἢ τῆς ἐξ ἡμῶν μεταστάσης δούλης)** αὐτοῦ ..... ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαῦσαι καὶ μετὰ δικαίων συναριθμῆσαι, ἡμᾶς δὲ ἐλεῆσαι ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν.

Αἰωνία σου ἡ μνήμη ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ (**ἡ ἀδελφὴ**) ἡμῶν. Αἰωνία σου ἡ μνήμη. Αἰωνία σου ἡ μνήμη.

**Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.**

### β΄. Ἐκφορὰ ἐκ τοῦ οἴκου.

Τελεῖται κατὰ τὰ προειρημένα. (σελ. 23). Οἱ ψάλται ψάλλουσιν ἀργῶς.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

---

### γ΄. Ἐν τῇ Ἐκκλησίᾳ.

**Ὁ Διάκονος**· Εὐλόγησον Δέσποτα.

**Ὁ Ἱερεύς**· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ψάλλει·

**Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.**

**Χορὸς α΄**. Χριστὸς ἀνέστη . . . . .

**Χορὸς β΄**. Χριστὸς ἀνέστη . . . . .

**Ὁ διάκονος**· Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου (**ἢ τῆς κεκοιμημένης δούλης**) τοῦ Θεοῦ . . . . . καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ (**ἢ αὐτῇ**) πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ (**ἢ αὐτῆς**),ἔνθα οἱ δίκαιοι ἀναπαύονται. Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν αὐτοῦ (**ἢ αὐτῆς**) ἁμαρτιῶν, παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

© SISMANOGLIO MEGARO



Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ Ἱερεύς.**

---

### ΕΙΣ ΝΗΠΙΑ.

Ὁ φυλάσσων τὰ νήπια, Κύριε, ἐν τῷ παρόντι βίῳ, ἐν δὲ τῷ μέλλοντι, διὰ τὸ τῆς γνώμης ἁπλοῦν καὶ ἀνεύθυνον, τοὺς Ἀβραμιαίους κόλπους ἀποπληρῶν καὶ φωτοειδέσι τόποις κατασκηνῶν, ἐν οἷς αὐλίζεται τῶν δικαίων τὰ πνεύματα, πρόσδεξαι ἐν εἰρήνῃ καὶ τοῦ δούλου (ἢ τῆς δούλης) σου . . . τὴν ψυχήν· αὐτὸς γὰρ εἶπας, τῶν τοιούτων εἶναι τὴν βασιλείαν τῶν οὐρανῶν.

Ἀντὶ τῆς εὐχῆς· **Ὁ Θεὸς τῶν πνευμάτων.....**

---

(Ἡ εὐχὴ ἡ παραλειπομένη **Εἰς Νήπια**).

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας τὸν δὲ διάβολον καταργήσας καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος. Αὐτὸς Κύριε, ἀνάπαυσον τὴν ψυχὴν τοῦ κεκοιμημένου δούλου (**ἢ τῆς κεκοιμημένης δούλης**) σου . . . . ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως,ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη καὶ στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ᾽ αὐτοῦ (**ἢ παρ᾽ αὐτῆς**) πραχθὲν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται ἐπὶ τῆς γῆς καὶ οὐχ ἁμαρτήσει. Σὺ γὰρ μόνος, Κύριε, ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ λόγος σου ἀλήθεια.

---

**Ὁ διάκονος·** Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ ἱερεύς·** Ὅτι σὺ εἶ ἡ Ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου (**ἢ τῆς κεκοιμημένης δούλης**) σου . . . . , Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εὐθὺς αἱ **Καταβασίαι τοῦ Πάσχα,** ὡς ἑξῆς.

**Ὠδὴ Α'.** Ἦχος α'.

**Χορὸς α'.** Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί, Πάσχα Κυρίου, Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωὴν καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός· ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

**Χορὸς β'.** Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

**Χορὸς α'.** Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

**Χορὸς β'.** Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

**Χορὸς α'.** Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.[1]

---

1. Ἐὰν ὦσι πλείονες ἱερεῖς, εἰς τὸ τέλος ἑκάστης ᾠδῆς·
**Ὁ διάκονος** ἐκφωνεῖ· Τοῦ Κυρίου δεηθῶμεν.
**Οἱ δὲ ἱερεῖς** καθ' ἱεραρχικὴν σειρὰν ἕκαστος, ἐκ τῶν μὴ ἐκφωνησάντων· Ὅτι σὺ εἶ ἡ ἀνάστασις κτλ. Ἤτοι αἱ ἐκφωνήσεις γίνονται κατὰ τὸν ἀριθμὸν τῶν ἱερέων.



**Ὠδὴ Γ'.**

**Χορὸς α'.** Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

**Χορὸς β'. Χριστὸς ἀνέστη** . . . . .

**Χορὸς α'. Χριστὸς ἀνέστη** . . . . .

**Χορὸς β'. Χριστὸς ἀνέστη** . . . . . .

**Χορὸς α'.** Ἀναστὰς ὁ Ἰησοῦς . . . . .

**Ὠδὴ Δ'.**

**Χορὸς β'.** Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακοὺμ, στήτω μεθ' ἡμῶν, καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

**Χορὸς α'. Χριστὸς ἀνέστη** . . . . .

**Χορὸς β'. Χριστὸς ἀνέστη** . . . . .

**Χορὸς α'. Χριστὸς ἀνέστη** . . . . .

**Χορὸς β'.** Ἀναστὰς ὁ Ἰησοῦς . . . . .

**Ὠδὴ Ε'.**

**Χορὸς α'.** Ὀρθρίσωμεν ὄρθρου βαθέως, καὶ ἀντὶ μύρου, τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ· καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης Ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

**Χορὸς β'. Χριστὸς ἀνέστη** . . . .

**Χορὸς α'. Χριστὸς ἀνέστη** . . . .

**Χορὸς β'. Χριστὸς ἀνέστη** . . . .

**Χορὸς α'.** Ἀναστὰς ὁ Ἰησοῦς . . . . .

### Ὠδὴ ΣΤ΄.

**Χορὸς β΄.** Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς ἐξανέστης τοῦ τάφου.

**Χορὸς α΄. Χριστὸς ἀνέστη** . . . . .
**Χορὸς β΄. Χριστὸς ἀνέστη** . . . . ,
**Χορὸς α΄. Χριστὸς ἀνέστη** . . . . .
**Χορὸς β΄.** Ἀναστὰς ὁ Ἰησοῦς . . . .

### Ὠδὴ Ζ΄.

**Χορὸς α΄.** Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

**Χορὸς β΄. Χριστὸς ἀνέστη**. . . . . ,
**Χορὸς α.΄ Χριστὸς ἀνέστη**. . . . . .
**Χορὸς β΄. Χριστὸς ἀνέστη**. . . . . .
**Χορὸς α΄.** Ἀναστὰς ὁ Ἰησοῦς . . . .

### Ὠδὴ Η΄.

**Χορὸς β΄.** Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρίς ἐστι πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

**Χορὸς α΄. Χριστὸς ἀνέστη** . . . . .
**Χορὸς β΄. Χριστὸς ἀνέστη** . . , . .
**Χορὸς α΄. Χριστὸς ἀνέστη** . . . . .
**Χορὸς β΄.** Ἀναστὰς ὁ Ἰησοῦς . . . . .



### Ὠδὴ Θ΄.

**Χορὸς α΄.** Ὁ Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ, ἁγνὴ Παρθένε, χαῖρε, καὶ πάλιν ἐρῶ, χαῖρε· ὁ σὸς υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου, ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

**Χορὸς β΄. Χριστὸς ἀνέστη** . . . . .
**Χορὸς α΄. Χριστὸς ἀνέστη** . . . . .
**Χορὸς β΄. Χριστὸς ἀνέστη** . . . . .
**Χορὸς α΄.** Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν,
**Χορὸς β΄.** Τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Εἶτα τὸ

### Ἐξαποστειλάριον.

**Χορὸς α΄.** Σαρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς· καὶ καταργήσας θάνατον. Πάσχα τῆς ἀφθαρσίας, τοῦ κόσμου σωτήριον.

**Χορὸς β΄.** Σαρκὶ ὑπνώσας ὡς θνητός . . . . .

**Ὁ Ἀπόστολος.**

καὶ τὸ **Εὐαγγέλιον.**

(Ἴδε σελ. 35—38).

SISMANOGLIO MEGARO

**Ὁ διάκονος.** Δόξα πατρί, καὶ υἱῷ, καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ **Ἱερεύς.** Τὴν **ΑΠΟΛΥΣΙΝ.**[1]

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν δόξα σοι.

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, καὶ πάντων τῶν Ἁγίων, καὶ τὴν ψυχὴν τοῦ ἐξ ἡμῶν μεταστάντος δούλου (**ἢ τῆς ἐξ ἡμῶν μεταστάσης δούλης**) αὐτοῦ. . . , ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαύσαι καὶ μετὰ δικαίων συναριθμῆσαι, ἡμᾶς δὲ ἐλεῆσαι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν.

Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ (**ἢ ἀδελφὴ**) ἡμῶν. Αἰωνία σου ἡ μνήμη. Αἰωνία σου ἡ μνήμη.

Ἄρχεται ὁ **ἀσπασμός,** καὶ ψάλλεται·

---

1. Ἐπειδὴ αἱ Καταβασίαι εἶναι ὀκτώ, εἰς τὸ τέλος ἑκάστης τῶν ὁποίων ἐκφωνεῖται «Ὅτι σὺ εἶ ἡ Ἀνάστασις. . . .», κατὰ τὸν ἀριθμὸν τῶν συμμετεχόντων εἰς τὴν κηδείαν ἱερέων, ἐὰν ὑπάρχωσιν ἱερεῖς περισσότεροι τῶν ἐννέα, ἐνταῦθα, πρὸ τῆς Ἀπολύσεως, οἱ μὴ ἐκφωνήσαντες ἱερεῖς, ἐκφωνοῦσι, καθ' ἱεραρχικὴν τάξιν ἕκαστος «Ὅτι σὺ εἶ ἡ Ἀνάστασις . . . .» τοῦ διακόνου προεκφωνοῦντος ἐν ἑκάστῃ ἐκφωνήσει· «Τοῦ Κυρίου δεηθῶμεν».

Ὅθεν ἐν πάσῃ περιπτώσει, κατὰ τὸν ἀριθμὸν τῶν ἱερέων γίνονται αἱ ἐκφωνήσεις, ἑκάστου ἱερέως ἐκφωνοῦντος ἅπαξ.



**Χορὸς β'.** Ἀναστάσεως ἡμέρα καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει· καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί· καὶ τοῖς μισοῦσιν ἡμᾶς· Συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει. Καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

### ΣΗΜΕΙΩΣΙΣ

Ἀρχιερέως προεξάρχοντος ἐν τῇ κηδείᾳ, ἢ πλειόνων Ἀρχιερέων συμμετεχόντων ἐν αὐτῇ, φυλάττεται ἡ προδιατυπωθεῖσα διάταξις (σελ. 41-45).

---

## δ'. Ἐκφορὰ ἐκ τῆς Ἐκκλησίας.

Ψάλλεται·

Ἀναστάσεως ἡμέρα καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει· καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί· καὶ τοῖς μισοῦσιν ἡμᾶς. Συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει. Καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

---

## ε'. Ἐν τῷ τάφῳ.

Ἀναγινώσκεται τὸ νεκρώσιμον τρισάγιον, ὡς ἐν τῷ οἴκῳ (σελ. 47-49). Μετὰ δὲ τὴν κατάθεσιν τοῦ νεκροῦ εἰς τὸν τάφον, ὁ ἱερεὺς ἄρας χοῦν διὰ τοῦ πτύου, ῥίπτει αὐτὸν ἐπὶ τοῦ νεκροῦ σταυροειδῶς, λέγων·

«Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ».

## ΜΕΡΟΣ ΤΡΙΤΟΝ

## ΣΗΜΕΙΩΣΕΙΣ

### Περὶ τῶν Νεκρωσίμων Ἀκολουθιῶν.

### ΕΙΣ ΤΑ ΜΕΘΕΟΡΤΑ ΤΟΥ ΠΑΣΧΑ.

ΚΑΙ

### ΕΙΣ ΝΗΠΙΑ

Ὡς προεξετέθη, ἐν τῇ Συνήθει Νεκρωσίμῳ ἀκολουθίᾳ, συμπεριλαμβάνονται καὶ αἱ Νεκρώσιμοι αὗται Ἀκολουθίαι. Μετὰ τοιαύτης δὲ ἀπλουστάτης μεθόδου καὶ τοιαύτης σαφηνείας καὶ ἁπλότητος γίνεται ἡ διάκρισις ἑκάστης τῶν ἐν μιᾷ Ἀκολουθίᾳ συμπεριλαμβανομένων τριῶν Ἀκολουθιῶν, ὥστε εὐκολώτατα τοῖς πᾶσι καταληπτὴ ἀποβαίνει αὕτη. Οὕτω δὲ ἀπροσκόπτως καὶ ἀπταίστως ψάλλεται ἑκάστη τῶν Ἀκολουθιῶν τούτων κεχωρισμένως.

Μολοντοῦτο, πρὸς ἔτι μεγαλειτέραν σαφήνειαν καὶ διαφώτισιν καὶ εὐκολίαν, ἰδιαιτέρως ἐπαναλαμβάνονται ἐνταῦθα, αἱ μεταξὺ τῶν Ἀκολουθιῶν τούτων διαφοραί, αἵτινές εἰσιν αἱ ἑξῆς·

### Α΄. Ἐν τῇ Νεκρωσίμῳ Ἀκολουθίᾳ.

### ΕΙΣ ΤΑ ΜΕΘΕΟΡΤΑ ΤΟΥ ΠΑΣΧΑ.

#### α΄). Ἐν τῷ οἴκῳ.

**Ἐν τῷ Νεκρωσίμῳ Τρισαγίῳ.**

1. Μετὰ τὸν Εὐλογητόν· Ἀναγινώσκεται· «**Χριστὸς ἀνέστη** . . . .» (ἐκ τρίτου).

Ἀντὶ τοῦ τρισαγίου «**Ἅγιος ὁ Θεὸς** . . . . . **Ὅτι σοῦ ἐστιν** . . . . .» (σελ. 17-19).



2. Μετὰ τὴν Ἀπόλυσιν, λέγεται «**Χριστὸς ἀνέστη** . . . . .»,

Ἀντὶ τοῦ «**Δι' εὐχῶν** . . . .» (σελ. 22).

#### β΄. Ἐν τῇ ἐκφορᾷ ἐκ τοῦ οἴκου.

Ψάλλεται «**Χριστὸς ἀνέστη** . . . . .»

Ἀντὶ τοῦ «**Ἅγιος ὁ Θεός** . . . .» (σελ. 23).

#### γ΄. Ἐν τῇ Ἐκκλησίᾳ.

1. Μετὰ τὸν Εὐλογητόν· Ψάλλεται «**Χριστὸς ἀνέστη** . . . .», (ἐκ τρίτου)· (σελ. 24).

Εἶτα ἄρχεται ὁ **Ἄμωμος.**

2. Μετὰ τὴν Ἀπόλυσιν· ψάλλεται «**Ἀναστάσεως ἡμέρα καὶ λαμπρυνθῶμεν** . . . . .»

Ἀντὶ τοῦ «**Δεῦτε τελευταῖον ἀσπασμόν**.... » (σελ. 40-41).

3. Μετὰ τὸ «**Ἀναστάσεως ἡμέρα καὶ λαμπρυνθῶμεν** . . . . .», λέγεται «**Χριστὸς ἀνέστη** . . . . ».

Ἀντὶ τοῦ «**Δι' εὐχῶν**. . . . », (σελ. 40).

#### δ΄. Ἐν τῇ ἐκφορᾷ ἐκ τῆς Ἐκκλησίας.

Ψάλλεται «**Ἀναστάσεως ἡμέρα καὶ λαμπρυνθῶμεν**, . . . .».

Ἀντὶ τοῦ «**Θρηνῶ καὶ ὀδύρομαι** . . . . . » (σελ. 45).

#### ε΄. Ἐν τῷ τάφῳ.

Ἀναγινώσκεται τὸ «**Νεκρώσιμον τρισάγιον** ὡς **ἐν τῷ οἴκῳ**, (σελ. 17. 22).

## Β'. ΕΙΣ ΝΗΠΙΑ.

### I. Ἐν τῇ Συνήθει Νεκρωσίμῳ Ἀκολουθίᾳ.

ΕΙΣ ΝΗΠΙΑ.

#### α'. Ἐν τῷ οἴκῳ.

**Ἐν τῷ Νεκρωσίμῳ τρισαγίῳ.**

Μετὰ τὴν αἴτησιν «Ἐλέησον ἡμᾶς ὁ Θεός .....» Ἀναγινώσκεται ἡ εὐχὴ τῶν Νηπίων «Ὁ φυλάσσων τὰ Νήπια, Κύριε .....».

Ἀντὶ τῆς εὐχῆς «Ὁ Θεὸς τῶν πνευμάτων.....» (σελ. 20).

#### β'. Ἐν τῇ Ἐκκλησίᾳ.

1. Μετὰ τὴν αἴτησιν «Ἐλέησον ἡμᾶς ὁ Θεός. . . . . .».

Ἀναγινώσκεται ἡ εὐχὴ τῶν Νηπίων «Ὁ φυλάσσων τὰ Νήπια, Κύριε .....».

Ἀντὶ τῆς εὐχῆς «Ὁ Θεὸς τῶν πνευμάτων.....» (σελ. 26).

2. **Ἀπόστολος** λέγεται τῶν Νηπίων «Ἀδελφοὶ ὁ φρονῶν τὴν ἡμέραν . . . .».

Ἀντὶ τοῦ Ἀποστόλου «Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν . . . . .» (σελ. 35.36).

3. **Εὐαγγέλιον** λέγεται τῶν Νηπίων «Τῷ καιρῷ ἐκείνῳ προσέφεραν τῷ Ἰησοῦ τὰ βρέφη.....».

Ἀντὶ τοῦ Εὐαγγελίου «Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους . . . . .». (σελ. 37. 38).

4. Παραλείπεται ἡ ἀνάγνωσις Συγχωρητικῆς εὐχῆς. (σελ. 42)· καὶ



5. Εἰς τὸν ἀσπασμὸν. ψάλλονται τὰ τροπάρια· «Ὦ τίς μὴ θρηνήσει τέκνον μου . . . .». «Ὦ τίς μὴ στενάξει τέκνον μου . . . .». Ἀντὶ τοῦ «Δεῦτε τελευταῖον ἀσπασμὸν . . .». (σελ. 40. 41).

#### γ'. Ἐν τῷ τάφῳ.

Ἀναγινώσκεται τὸ **νεκρώσιμον τρισάγιον**, ὡς ἐν τῷ οἴκῳ. (σελ. 20).

---

### II. Ἐν τοῖς Μεθεόρτοις τοῦ Πάσχα.

**Εἰς Νήπια.**

**Ἐν τῷ οἴκῳ, ἐν τῇ Ἐκκλησίᾳ καὶ ἐν τῷ τάφῳ.**

Ἀναγινώσκεται ἡ εὐχὴ τῶν Νηπίων· «Ὁ φυλάσσων τὰ Νήπια, Κύριε, . . . . .».

Ἀντὶ τῆς εὐχῆς «Ὁ Θεὸς τῶν πνευμάτων. . .» (σελ. 20. 26. 20).

**Ἐν τῇ Ἐκκλησίᾳ.**

Λέγεται προσέτι καὶ ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῶν Νηπίων (σελ. 35. 37).

Παραλείπεται ἡ ἀνάγνωσις Συγχωρητικῆς εὐχῆς (σελ. 42).

---

### III. Ἐν τῇ Διακαινησίμῳ Ἑβδομάδι, καὶ τῇ Ἡμέρᾳ τῆς Ἀποδόσεως τοῦ Πάσχα·

ΕΙΣ ΝΗΠΙΑ.

Καὶ ἐνταῦθα κρατοῦσι τὰ προεκτεθέντα ἐν **II**, (σελ. 61. Ἴδε καὶ σελ. 48.51.55.35.37).

## ΜΕΡΟΣ ΤΕΤΑΡΤΟΝ

### Διαφοραὶ

**Ἐν τῷ Τυπικῷ Γ. Βιολάκη, Πρωτοψάλτου.**

Χάριν μείζονος διαφωτίσεως, ἐπάναγκες ἀποβαίνει, νὰ σημειωθῶσιν ἐνταῦθα σαφέστερον, αἱ ἐκ τῆς ἀντιπαραβολῆς τῶν ἀνωτέρω ἐκτεθέντων, πρὸς τὴν ἐν τῷ **Τυπικῷ** τοῦ Γ. Βιολάκη νεκρώσιμον ἀκολουθίαν, προκύπτουσαι διαφοραὶ ἐξ **ἐπαναλήψεων, παραλείψεων,** ἢ ἐκ **μεταθέσεων εὐχῶν, ἐν αὐτῷ.**

### Α΄. Ἐν τῇ συνήθει νεκρωσίμῳ ἀκολουθίᾳ

Ἐν τῷ οἴκῳ.

Μετὰ τὴν εὐχήν· Ὁ Θεὸς τῶν πνευμάτων. . . . **παραλείπεται** ἡ σημείωσις.

**Ὁ διάκονος·** Τοῦ Κυρίου δεηθῶμεν. (ἥτις πρὸ τῆς εὐχῆς ὑπάρχει). καὶ

**Ὁ ἱερεύς·** Ὅτι σὺ εἶ ἡ ἀνάστασις. . . . .

Ἐν τῇ Ἐκκλησίᾳ.

Τὸ «Ἐλέησον ἡμᾶς . . . .» **ἐπαναλαβάνεται.** Λέγεται καὶ

Μετὰ τὴν α΄ στάσιν καὶ

Μετὰ τὸ Εὐαγγέλιον.



**Προστίθενται, δύο** συγχωρητικαὶ εὐχαί. Ἀντὶ μιᾶς, ὡς καὶ εἴθισται ἐν τῇ πράξει, ἑνὸς Ἀρχιερέως ὑπάρχοντος.

Ἡ εὐχὴ «Ὁ Θεὸς τῶν πνευμάτων. . . . .» τίθεται οὐχὶ μετὰ τὴν α΄ στάσιν, ἀλλὰ μετὰ τὸ Εὐαγγέλιον.

Τὸ «Ὅτι σὺ εἶ ἡ ἀνάστασις. . . . . .» **κατ' ἐπανάληψιν** λέγεται·

Μετὰ τὴν α΄ στάσιν· καὶ

Πρὸ τῆς Ἀπολύσεως.

Ἐν τῷ τάφῳ.

Περὶ τῶν ἐν τῷ τάφῳ ἀναγινωσκομένων καὶ τελουμένων, **οὐδὲν** ἀναφέρεται.

---

### Β΄. Ἐν τῇ νεκρωσίμῳ Ἀκολουθίᾳ

**Εἰς τὰ Μεθέορτα τοῦ Πάσχα,** σημειοῦται μόνον·

«Ἐὰν ἡ Διακαινήσιμος ἑβδομάς, ψάλλομεν μέχρι τοῦ Ναοῦ τὸ Χριστὸς ἀνέστη. **Τὸ αὐτὸ καὶ μέχρι τῆς ἀποδόσεως τοῦ Πάσχα.**

Κατωτέρω δὲ τὸ ἑξῆς·

«Μετὰ τὴν Διακαινήσιμον ἑβδομάδα, ἀφοῦ εἰσέλθωμεν ἐν τῷ ναῷ μετὰ τοῦ λειψάνου, ὁ Ἀρχιερεύς, Εὐλογητὸς ὁ Θεός, εἶτα τὸ Χριστὸς ἀνέστη, ὑπὸ τοῦ Ἀρχιερέως ἅπαξ, καὶ δὶς ὑπὸ τῶν χορῶν, καὶ ἀκολούθως ἡ νεκρώσιμος συνήθης ἀκολουθία ὡς προδιετυπώθη».

**Οὐδὲν ἕτερον.**

---

### Γ'. Ἐν τῇ νεκρωσίμῳ ἀκολουθίᾳ

ΕΙΣ ΝΗΠΙΑ

Περὶ ταύτης ἀναφέρονται **μόνον** τὰ ἑξῆς·

«Εἰς τὴν ἀκολουθίαν τῶν βρεφῶν ἀφαιροῦνται τὰ κατ' ἦχον Ἰδιόμελα, λέγεται δὲ καὶ ἡ διὰ τὰ βρέφη ἐν τῷ Εὐχολογίῳ σημειουμένη εὐχή, ὡς καὶ τὸ Εὐαγγέλιον».

---

### Δ'. Ἐν τῇ νεκρωσίμῳ Ἀκολουθίᾳ

**Κατὰ τὴν Διακαινήσιμον ἑβδομάδα καὶ τὴν ἡμέραν τῆς ἀποδόσεως τοῦ Πάσχα.**

Ἐν τῷ οἴκῳ.

Περὶ τῶν ἐν τῷ οἴκῳ ἀναγινωσκομένων, ἀντὶ τρισαγίου, **οὐδὲν** ἀναφέρεται.

Ἐν τῇ Ἐκκλησίᾳ.

Τὸ «Ἐλέησον ἡμᾶς ὁ Θεὸς . . » δὲν ἐπαναλαμβάνεται μέν, ἀλλὰ λέγεται **μετὰ** τὸ Εὐαγγέλιον.

Ἡ εὐχὴ «Ὁ Θεὸς τῶν πνευμάτων . . . . .» τίθεται **μετὰ** τὸ Εὐαγγέλιον.

**Προστίθενται δύο** συγχωρητικαὶ εὐχαί, ἀντὶ μιᾶς καὶ

**Παραλείπεται** τὸ μετὰ τὴν ἀπόλυσιν «Χριστὸς ἀνέστη. . . .»



Ἐν τῷ τάφῳ.

Περὶ τῶν ἐν τῷ τάφῳ **οὐδὲν** ἀναφέρεται.

Ὡσαύτως **οὐδεμία** μνεία ὑπάρχει περὶ νεκρωσίμου ἀκολουθίας, κατὰ τὴν **Ἡμέραν τῆς ἀποδόσεως τοῦ Πάσχα.**

Ταῦτα συνοπτικῶς, περὶ τῶν ἐν τῷ Τυπικῷ τοῦ πρωτοψάλτου Γ. Βιολάκη κυριωτέρων **διαφορῶν·**

Τελευτῶν σημειῶ τὰ ἑξῆς· Ἐπειδὴ διὰ τῆς ἐκτεθείσης τυπικῆς διατάξεως τῆς νεκρωσίμου ἀκολουθίας, συνταχθείσης συνῳδὰ ταῖς περὶ **βαττολογίας** καὶ **πολυλογίας** ἀπαγορευτικαῖς Κανονικαῖς Διατάξεσι, τοῖς ῥητοῖς·

**«Ποιεῖν τὰς αἰτήσεις ὁμοίως»·** καὶ

**«Πάντα εὐσχημόνως γινέσθω»,** καὶ τῇ

**Ἐξ ἀναλογίας ἑρμηνείᾳ·**

συμπληροῦνται μὲν τὰ παρουσιαζόμενα κενὰ καὶ χάσματα, εἰσάγεται δὲ τὸ ὁμοιόμορφον καὶ ἡ τάξις, ἄνευ παραβάσεως τοῦ κανόνος **«Τὰ ἀρχαῖα κρατείτω»,** προδήλως χρησιμεύει αὕτη ὡς ἀκριβὴς καὶ πλήρης **Νεκρώσιμος ἀκολουθία.**

## ΜΕΡΟΣ ΠΕΜΠΤΟΝ

# ΠΑΡΑΡΤΗΜΑ

Περὶ τοῦ **Νεκρωσίμου τρισαγίου**
Περὶ τοῦ **Μνημονεύματος τῶν ὀνομάτων**, καὶ
Πέντε **Ἐπικήδειοι ὁμιλίαι.**

### Α΄. Περὶ τοῦ Νεκρωσίμου Τρισαγίου.

Τὸ **Νεκρώσιμον τρισάγιον** ψάλλεται ἐν τῷ οἴκῳ τοῦ θανόντος, κατὰ τὴν ἐκτεθεῖσαν τυπικὴν διάταξιν (σελ. 17-22). Ἐν δὲ τῷ Ναῷ, καὶ ἐπὶ τοῦ τάφου, κατὰ τὴν ἑξῆς·

#### α΄. Ἐν τῷ ναῷ.

Ψαλλομένου **ἁπλῶς τρισαγίου,**[1] λέγονται τὰ ἑξῆς·

Τὸ **Τροπάριον,** Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος . . . . .

Ἐλέησον ἡμᾶς ὁ Θεὸς . . . . .

Ὁ Θεὸς τῶν πνευμάτων . . . . .

Ὅτι σὺ εἶ ἡ ἀνάστασις . . . . .

**Μνημοσύνου** δὲ τελουμένου, Ἱερατικοῦ ἢ Ἀρχιερατικοῦ, τὰ ἑξῆς·

Τὰ **Τροπάρια·** Μετὰ πνευμάτων δικαίων......

Εἰς τὴν κατάπαυσίν σου Κύριε . . . . .

1. Ἤτοι τοῦ τρισαγίου, ὅπερ εἴθισται νὰ ψάλληται ἐπὶ κολλύβων, κυρίως ἐν τῷ ἑσπερινῷ τῆς Παρασκευῆς καὶ τὴν πρωΐαν τοῦ Σαββάτου ἐν τῷ ναῷ.



Δόξα πατρὶ . . . . . Σὺ εἶ ὁ Θεὸς ἡμῶν. . . . . .

Καὶ νῦν . . . . Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος....

Ἐλέησον ἡμᾶς ὁ Θεὸς . . . . . . . . . . . . . . .

Ὁ Θεὸς τῶν πνευμάτων . . . . . . . . . . .[1] καὶ

Ὅτι σὺ εἶ ἡ ἀνάστασις . . . . . . . . . . . . . . .

#### β΄. Ἐπὶ τοῦ τάφου.

Ψάλλεται ὁλόκληρον τὸ **Νεκρώσιμον τρισάγιον**. Ἀρχιερέως δὲ ὑπάρχοντος, ἀντὶ τῆς εὐχῆς «Ὁ Θεὸς τῶν πνευμάτων . . . .», ἀναγινώσκεται ἡ β΄ Συγχωρητικὴ εὐχή, «Δέσποτα πολυέλεε . . . .».

**Ἂν προηγήθη** ἀνάγνωσις **τρισαγίου** ἐπὶ ἑτέρου τάφου, ἡ ἔναρξις γίνεται διὰ τοῦ **τροπαρίου**·

«Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος παρθένος. . . . ».

Ἂν δὲ πρόκειται νὰ ψάλωσι καὶ ἕτερα **τρισάγια**, ἡ **Ἀπόλυσις** γίνεται εἰς τὸ τελευταῖον **τρισάγιον**.

Εἰς τὰ **Σάββατα τῶν ψυχῶν**, ὡς καὶ εἰς πᾶσαν ἄλλην περίστασιν, καθ' ἣν ἀναγινώσκονται ἀλληλοδιαδόχως πολλὰ τρισάγια, ἐπικρατεῖ ἡ κατ' ἐπιβαλλομένην οἰκονομίαν εἰθισμένη συντομία.

---

1 Εἰς Νήπια ἐν πάσῃ περιπτώσει λέγεται ἡ εὐχὴ «Ὁ φυλάσσων τὰ Νήπια, Κύριε . . . .».

Ἀντὶ τῆς εὐχῆς «Ὁ Θεὸς τῶν πνευμάτων . . . . .».

## Β'. Περὶ τοῦ Μνημονεύματος τῶν ὀνομάτων.

**Τὸ μνημόνευμα τῶν ὀνομάτων** τελεῖται ὡς ἑξῆς.

### α'. Ἐν Κηδείᾳ.

Μνημονεύεται τὸ ὄνομα τοῦ κηδευομένου, **μόνον.**

Κατ' ἐξαίρεσιν δέ, εἴς τινας, μετὰ τοῦ ὀνόματος ἀναφέρεται καὶ τὸ ἀξίωμα αὐτῶν. Ἤτοι. Βασιλέως. Πατριάρχου. Ἀρχιερέως. Ἱερέως. Ἱερομονάχου. Ἱεροδιακόνου. Μοναχοῦ.

### β'. Ἐν Μνημοσύνῳ ἢ ἁπλῶς τρισαγίῳ.

1. Ἐν τῇ δεήσει «Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῶν ψυχῶν τῶν κεκοιμημένων δούλων τοῦ Θεοῦ. . . . . », ἀναγινώσκονται μόνον ὀνόματα, προστιθεμένου εἰς τὸ τέλος αὐτῶν. **Μετὰ τῶν κεκοιμημένων γονέων, προπατόρων, συμβιῶν, τέκνων, ἀδελφῶν καὶ συγγενῶν αὐτῶν.** Ἢ μόνον. **Μετὰ τῶν κεκοιμημένων συγγενῶν αὐτῶν·** ὅπερ περιληπτικώτερον καὶ εὐπρεπέστερον.* Ἀποφευγομένης τῆς ὀχληρᾶς

---

* Οὕτω μνημονεύονται καὶ ἐν τῇ Μεγάλῃ Εἰσόδῳ, Ἀρχιερατικοῦ **Μνημοσύνου** τελουμένου.

Εἰς δὲ τὸ τέλος, ἐν τῷ **τρισαγίῳ** ἐπὶ τῶν κολλύβων, παρὰ πολλῶν, μνημονεύεται **μόνον τὸ ὄνομα,** τοῦ ὑπὲρ οὗ κυ-

SISMANOGLIO



**βαττολογίας** καὶ **πολυλογίας,** διὰ τῆς κατόπιν ἑκάστου ὀνόματος ἀγροίκου καὶ ἀηδεστάτης ἐπαναλήψεως τοῦ **γονέων, συμβίας καὶ τῶν τέκνων** κτλ. ὡς εἴθισται ὑπό τινων ἱερέων.

2. Ἐν τῇ εὐχῇ «Ὁ Θεὸς τῶν πνευμάτων . . . . . . », ἀναγινώσκεται, **αὐτὸς Κύριε ἀνάπαυσον τὰς ψυχὰς τῶν προμνημονευθέντων δούλων σου, ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ. . . . .*** καὶ

3. Ἡ ἐκφώνησις «Ὅτι σὺ εἶ ἡ ἀνάστασις . . . . », λέγεται ὡς ἑξῆς. **Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τῶν προμνημονευθέντων δούλων σου,** Χριστὲ ὁ Θεός, . . . .

---

ρίως τελεῖται τὸ **Μνημόσυνον.** Ὅπερ πολὺ ὀρθὸν καὶ ἀσπαστόν. διότι σὺν τῇ εὐχῇ χαρακτηρίζει τὴν τελετὴν ἡ τιμή, ἡ ἀπονεμομένη ἐξαιρετικῶς καὶ ἰδιαζόντως εἰς τὴν μνήμην τοῦ τεθνεῶτος, ὑπὲρ οὗ τὸ μνημόσυνον.

* Ὅταν ὁ ἱερεὺς ἀναγινώσκῃ τὸ τρισάγιον. Ἄλλως, ὅταν ὑπάρχῃ καὶ διάκονος, ἢ καὶ ἄλλος ἱερεύς, ἀντικαθιστῶν διάκονον, ἐπειδὴ οὗτος ἀναγινώσκει τὴν αἴτησιν «Ἐλέησον ἡμᾶς ὁ Θεός, . . . . Ἔτι δεόμεθα. . . . » καὶ μνημονεύει ὡς ἀνωτέρω (1. σελ. 68), ὁ ἱερεὺς ἐν τῇ ἀναγνώσει τῆς εὐχῆς «Ὁ Θεὸς τῶν πνευμάτων. . . . » μνημονεύει τῶν ὀνομάτων, ὡς καὶ ὁ προηγηθεὶς διάκονος, ἢ ὁ ἀντικαθιστῶν διάκονον ἱερεύς.

## Γ'. Ἐπικήδειοι ὁμιλίαι.

### ΟΜΙΛΙΑ Α'.*

§. 1.

**Ἀγαπητοὶ ἀδελφοί,**

Εὐσεβὴς χριστιανὸς καὶ καλὸς φίλος, συγγενὴς τοῦ ἀφ' ἡμῶν μεταστάντος ἀδελφοῦ ἡμῶν Θεοδώρου, ὃν συγγενεῖς τε καὶ φίλοι μετ' αἰσθήματος βαθυτάτης συγκινήσεως καὶ ψυχικῆς ὀδύνης, ἐν δάκρυσι, προπέμπομεν εἰς τὴν τελευταίαν καὶ αἰώνιον αὐτοῦ κατοικίαν, πρὸ ὀλίγου μὲ παρεκάλεσε νὰ εἴπω λέξεις τινάς, ἐν τῇ πενθίμῳ ταύτῃ τελετῇ.

§. 2.

Εὔλογος παράκλησις, δικαία ἡ αἴτησις· διότι προέρχεται ἐξ εὐλαβοῦς πόθου, ἀποδοῦναι τιμὴν εἰς ἱερὰν μνήμην μεταστάντος πολυφιλήτου συγγενοῦς.

§. 3.

Τοσούτῳ δὲ μᾶλλον εὐχαρίστως καὶ προθύμως ἀποκρίνομαι εἰς τὴν τοιαύτην παράκλησιν, ὅσῳ σύμφωνός ἐστιν αὕτη πρὸς τὸ Ἀποστολικὸν ρητὸν «Πάντα πρὸς οἰκοδομὴν γινέσθω»· ρητόν, ὅπερ πάντες μὲν οἱ εὐσεβεῖς χριστιανοί, ἰδίᾳ ὅμως ἡμεῖς οἱ Κληρικοί, ἱερὸν καθῆκον ἔχομεν, ἐν πάσῃ εὐκαιρίᾳ καὶ περιστάσει, νὰ ἔχωμεν ὑπ' ὄψιν καὶ νὰ ἐφαρμόζωμεν λόγῳ τε καὶ ἔργῳ.

---

* Ἐξεφωνήθη τῇ 30 Δεκεμβρίου 1903 ἐν τῷ ἱερῷ ναῷ τῆς Εὐαγγελιστρίας Προπόδων Ταταούλων, εἰς τὴν κηδείαν τοῦ μακαρίτου Θεοδώρου Ἀναγνωστίδου, φαρμακοποιοῦ.

© SISMANOGLIO



§. 4.

Ἀλλὰ τί δύναταί τις νὰ εἴπῃ εἰς περίστασιν, οἵα ἡ προκειμένη;

Καθ' ἣν τὸ ὁρώμενον θέαμα, τοὺς κρατίστους φιλοσόφους ἀσόφους καθίστησι;

Καθ' ἣν ἡ ζοφερὰ εἰκὼν τοῦ θανάτου, διάνοιαν καὶ γλῶσσαν δεσμεύουσα, διδάσκει μείζονα καὶ ὑψηλότερα πάντων τῶν φιλοσοφημάτων;

Καθ' ἣν τὰ ἤδη ψαλέντα ἱερὰ τροπάρια, ἐμφαντικῶς, μετὰ ποιητικοῦ ἀλλὰ καὶ τρομακτικοῦ κάλλους καὶ μεγαλείου, θαμβοῦντος τὴν διάνοιαν, εἰκονίζοντα τὴν ματαιότητα τῶν τοῦ κόσμου τούτου πραγμάτων, ἐν γένει, παρέχουσι τὰ ὕψιστα τῶν διδαγμάτων;

§. 5.

Αἴσθημα βαθυτάτης θλίψεως καὶ ἄλγους, ἐκδηλούμενον διὰ κλαυθμῶν καὶ ὀδυρμῶν, θρήνων καὶ κοπετῶν, κυριεύει πάντας, ὅσους πλήττει ἡ ὀδυνηρὰ καὶ ἀνεπανόρθωτος συμφορά, ὁ ἀποχωρισμὸς ἀπὸ προσφιλεστάτης ὑπάρξεως, ἣν ἀφήρπασεν ὁ σκληρὸς καὶ ἀδυσώπητος θάνατος.

§. 6.

Καὶ τὸ αἴσθημα τοῦτο γενικόν ἐστι· καθότι συμπαρομαρτεῖ τῇ ἐκ τῆς ἀτελείας τῆς ἀνθρωπίνης φύσεως ἀδυναμίᾳ. Καὶ ὁ μᾶλλον σκληροκάρδιος, καὶ ὁ περὶ πάντων φιλοσοφῶν, ἀδύνατον νὰ μείνῃ ἀνεπηρέαστος.

§. 7.

Δι' ἡμᾶς τοὺς χριστιανοὺς ὅμως, ἐπιβάλλεται ὁ κατὰ τὸ δυνατὸν περιορισμὸς καὶ ἡ μετρίασις τοῦ τοιούτου αἰσθήματος. Διότι ἡμεῖς οὐκ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.

Καὶ εἰς τὸν θεωροῦντα πρόσκαιρον καὶ παροδικὸν τὸν ἐν τῷ κόσμῳ τούτῳ βίον, τὴν ὀνείρου σκιάν, κατὰ τὸν Ἡσίοδον, δηλαδὴ οὔτε ὄνειρον, ἐπιζητοῦντα δὲ τὴν μέλλουσαν, οὔτε ἔκπληξιν καὶ θαυμασμὸν πρέπει νὰ προξενῇ, ὡς ἐν πολλοῖς συμβαίνει, τὸ φυσικώτατον τοῦ θανάτου γεγονός, ὅπερ θᾶττον ἢ βράδιον, βεβαιότατα ἐπελεύσεται. ἀλλ' οὔτε ἐπιτρέπεται ἡ ἐπικράτησις αἰσθήματος, εἰς βαθμόν, ἁρμόζοντα μόνον εἰς τοὺς ἀλλοτρίους τῷ χριστιανισμῷ ἀρχάς, περὶ μελλούσης ζωῆς πρεσβεύοντας.

§. 8.

Ὁ ἀληθὴς χριστιανὸς δέον νὰ μετριάζῃ τὸ ἐκ τοῦ τραύματος τοῦ θανάτου ἀλγεινὸν αἴσθημα ἐν πάσῃ δὲ περιστάσει, ἔχων ὑπ' ὄψιν τὸ εἰρημένον γραφικὸν ῥητόν, ὀφείλει ἐν τῷ βίῳ αὐτοῦ, νὰ ἔχῃ τύπον καὶ ὑπογραμμὸν τὰς θείας ἐντολὰς καὶ τὰ ἱερὰ παραγγέλματα τῆς Ἁγίας ἡμῶν θρησκείας· κύριον σκοπὸν τοῦ βίου τάσσων ἐν παντί, τὴν ἀπόλαυσιν τῶν ὑπερκοσμίων ἀγαθῶν ἐν τῇ μενούσῃ πόλει· ἀείποτε ἔχων ἐν τῷ νῷ ταύτην, καὶ ὢν ἕτοιμος δι' αὐτήν.

Καὶ μακάριός ἐστιν ὁ τοιοῦτος.

§. 9.

Εὐλόγως δὲ καὶ δικαίως δυνάμεθα νὰ κατατάξωμεν μεταξὺ τῶν μακαρίων καὶ τὸν ἀείμνηστον ἀδελφὸν ἡμῶν Θεόδωρον· διότι ὡς γινώσκομεν πάντες, ἦν ἀληθὴς χριστιανός. Ὁ βίος καὶ ἡ πολιτεία αὐτοῦ ἦσαν σύμφωνοι πρὸς τὰς θείας ἐντολὰς τῆς ἁγίας ἡμῶν θρησκείας. Ἐν πάσῃ εὐκαιρίᾳ καὶ περιστάσει, κατὰ τὸ μέτρον τοῦ ἄνωθεν δωρηθέντος αὐτῷ ταλάντου, ἐξεδήλου τὰ χριστιανικὰ αὐτοῦ αἰσθήματα.

§. 10.

Ἰδίως δὲ εὔλογον καὶ δίκαιόν ἐστι, νὰ ἐξαρθῇ ἐνταῦθα ἐκεῖνο, ὅπερ ἐξαιρετικῆς τιμῆς ἀξίαν καθίστησι τὴν ἱερὰν μνήμην αὐτοῦ.



Ὁ ἀείμνηστος τὴν ὑψίστην τῶν εὐαγγελικῶν ἀρετῶν, ἤτοι τὴν πρὸς τὸν πλησίον ἀγάπην, ἐξήσκησε καὶ ἐν εὐρυτέρῳ κύκλῳ, διαπνεόμενος ὑπὸ θερμοῦ ζήλου εὐσεβείας καὶ φιλογενείας. Πεπροικισμένος ὑπὸ πολυτίμων ἐφοδίων, καὶ γνώσεων καὶ πείρας, ὑπῆρξεν ἐκ τῶν σπουδαίων παραγόντων ὑπὲρ τῆς ἀνορθώσεως καὶ προαγωγῆς τῶν κοινῶν· παρασχὼν τὴν πολύτιμον συμβουλὴν αὐτοῦ, κατὰ διαφόρου περιόδους, ὥς τε ἐπίτροπος τῆς Ἐκκλησίας καὶ ὡς ἔφορος τῶν σχολῶν.

Διὸ καὶ ἐξαιρετικῆς τιμῆς ἀξία ἐστὶν ἡ ἱερὰ μνήμη αὐτοῦ· ἐργάτης δὲ ἄξιός ἐστι τοῦ μισθοῦ αὐτοῦ ἐν τῷ οὐρανῷ.

§. 11.

Τὰ ὀλίγα ταῦτα εἰς ἐπάξιον τιμὴν τῆς ἱερᾶς μνήμης τοῦ μακαρίτου Θεοδώρου. Εἰς οἰκοδομὴν ἁπάντων, καὶ πρὸς ἀπάντησιν, εἰς παράκλησιν εὐσεβοῦς χριστιανοῦ καὶ καλοῦ φίλου.

Κύριος ὁ Θεὸς τάξοι τὴν ψυχὴν τοῦ ἀειμνήστου ἀδελφοῦ ἡμῶν Θεοδώρου ἐν σκηναῖς δικαίων.

Πέμψοι δὲ τὴν ἄνωθεν παραμυθίαν καὶ ἀνακούφισιν τοῖς βαρυπενθοῦσι συγγενέσι καὶ φίλοις του. Ἀμήν.

## ΟΜΙΛΙΑ Β'.*

§. 1.

**Ἀγαπητοὶ ἀδελφοί,**

Ὅσοι ἐξ ὑμῶν, ἐκ διαφόρων συνοικιῶν τῆς πρωτευούσης προσήλθετε ἐνταῦθα, ἵνα εἴτε ὡς συγγενεῖς, εἴτε ὡς φίλοι, εἴτε ὡς συμπατριῶται, συμμετάσχητε

* Ἐξεφωνήθη τῇ 10 Ἰανουαρίου 1901 ἐν τῇ ἱερᾷ Ἐκκλησίᾳ τοῦ Ἁγίου Παντελεήμονος ἐν Κουσγουντζουκίῳ, εἰς τὴν κηδείαν Μαρίνης Βαφείδου, ἐκ Μαλακοπῆς τῆς Ἐπαρχίας Ἰκονίου.

SISMANOGLIO MEGARO

ἐν τῇ πενθίμῳ ταύτῃ τελετῇ, συλλυπούμενοι δὲ βαρυπενθοῦσαν οἰκογένειαν, προπέμψητε εἰς τὴν τελευταίαν καὶ αἰώνιον αὐτῆς κατοικίαν, τὴν ἐκ τῶν ἐπιγείων μεταστᾶσαν σεβαστὴν καὶ ἐνάρετον δέσποιναν Μαρίναν, παρέστητε σήμερον εἰς τὸ ἔκτακτον θέαμα, τῆς ἀναρτήσεως μελαινῶν σημαιῶν ἐπὶ τῶν ἱστίων τῶν ἐν τῷ λιμένι τῆς πρωτευούσης ἠγκυροβολημένων ἀναριθμήτων πλοίων.

§. 2.

Τοῦτο, ὡς ἐπληροφορήθην, πάντως δὲ ἐπληροφορήθητε καὶ ὑμεῖς, γίγνεται σήμερον πρὸς ἐπίσημον ἔνδειξιν πένθους, ἐπὶ τῷ ἀγγελθέντι θανάτῳ τῆς Βικτωρίας, βασιλίσσης τῆς Ἀγγλίας, Αὐτοκρατείρας τῶν Ἰνδιῶν κτλ.

§. 3.

Βεβαίως τὸ γεγονὸς τοῦτο οὐδὲν τὸ ἐξαιρετικὸν παρουσιάζει, διότι καὶ ἡ βασίλισσα, ὡς ἄνθρωπος, ὑπέκυψεν εἰς τὸ μοιραῖον τέλος.

Ἀλλ' ἐκεῖνο, τὸ ὁποῖον δίδει ἀφορμὴν νὰ τὸ ἀναφέρωμεν καὶ νὰ τὸ σχετίσωμεν πρὸς τὴν παροῦσαν πένθιμον τελετήν, εἶναι ἡ ὑψηλὴ διδασκαλία, ἣν δυνάμεθα νὰ ἀρυσθῶμεν ἐκ τῆς συμπτώσεως τῆς ἡμέρας τοῦ θανάτου τῆς βασιλίσσης, πρὸς τὴν τῆς προκειμένης μακαρίτιδος Μαρίνης, καὶ τῆς ἐκ ταύτης παρεχομένης εὐκαιρίας, πρὸς σύγκρισιν καὶ παραλληλισμὸν μεταξὺ τῶν δύο θανουσῶν.

§. 4.

Ἐν τῷ κόσμῳ τούτῳ διεκρίνοντο αὗται ὡς ἑξῆς. Ἀφ' ἑνὸς μὲν Βασιλικὴ καὶ Αὐτοκρατορικὴ Μεγαλειότης, ἐνασκοῦσα ἐξουσίαν ἐπὶ ἀπεράντων χωρῶν τῆς ὑφηλίου, καὶ δι' ἑνὸς νεύματος θέτουσα εἰς κίνησιν τριακόσια ἑκατομμύρια ἀνθρώπων καὶ ναυτικὴν δύναμιν κολοσσιαίαν, θαμβοῦσαν ὀφθαλμοὺς καὶ διάνοιαν.



Δαψιλῆ, ἄφθονα καὶ ἀνεξάντλητα μέσα πρὸς ἀπόλαυσιν τῶν ἐγκοσμίων ἀγαθῶν. Δόξα, τιμαί, πλούτη ἀμύθητα, ἀξιώματα, ὀφφίκια, παγκόσμιος φήμη καὶ ἐν γένει μεγαλεῖον, ἐμποιοῦν θάμβος καὶ λάμψιν διασαλπιζομένην καθ' ἅπασαν τὴν οἰκουμένην. Ἀφ' ἑτέρου δὲ ἁπλῆ θνητή, ὅλως ἄγνωστος πέραν τῶν ὁρίων τῆς γενετείρας αὐτῆς, μικρᾶς καὶ ἀσήμου κώμης.

Οὕτω μέγιστον τὸ κοινωνικὸν χάσμα, μεταξὺ τῶν δύο. Διάκρισις, μὴ ἐπιδεχομένη σύγκρισιν.

Ἀλλὰ ταῦτα ἐν τῷ κόσμῳ τούτῳ.

§. 5.

Ἤδη ἀμφότεραι, ἥ τε βασίλισσα καὶ Αὐτοκράτειρα Βικτωρία καὶ ἡ δέσποινα Μαρίνα εὑρίσκονται ἐνώπιον τοῦ ὑψίστου θρόνου τοῦ ἐπουρανίου Βασιλέως, ὅπου κατὰ τὰ ὑψηλὰ εὐαγγελικὰ διδάγματα, οὔτε ἡ βασιλικὴ πορφύρα, οὔτε τὸ αὐτοκρατορικὸν διάδημα, οὔτε τὰ ἀξιώματα, οὔτε τὸ θαμβοῦν μεγαλεῖον, ἔχουσιν ἀξίαν καὶ σημασίαν τινά.

Συνεπῶς οὐδ' ἴχνος τῆς ἐν τῷ κόσμῳ τούτῳ διακρίσεως μεταξὺ τῶν δύο ὑφίσταται ἤδη.

§. 6.

Ἓν μόνον ἔχει πολύτιμον ἀξίαν ἐκεῖ, ἐν τῷ οὐρανῷ· ἡ ἀρετή, καὶ ἐκ ταύτης καὶ μόνον ἡ διάκρισις ὑπάρχει. Μακάριος δὲ ὁ ἀπεργασθεὶς τὸ ἀγαθὸν καὶ καλλιεργήσας τὴν ἀρετὴν ἐν τῷ κόσμῳ τούτῳ, φέρων δὲ ἐφόδιον αὐτὴν ἐν τῷ οὐρανῷ.

§. 7.

Μακαρία ἡ ἀείμνηστος Βικτωρία ἤδη, οὐχὶ ὡς βασίλισσα καὶ Αὐτοκράτειρα, ἀλλὰ διότι ἐκαλλιέργησε τὴν ἀρετὴν ἐν τῷ βίῳ της, κατὰ τὸ πλούσιον τάλαντον καὶ τὰ δαψιλῆ μέσα, ἅπερ ἐδωρήσατο αὐτῇ ὁ Θεός.

Ἐπίσης μακαρία, ἄνευ δὲ καὶ τῆς ἐλαχίστης διακρίσεως καὶ ἡ ἀείμνηστος Μαρίνα, διότι ἐν τῷ κόσμῳ

SISMANOGLIO MEGARO

τούτῳ, κατὰ τὸ δωρηθὲν αὐτῇ τάλαντον καὶ τὰ μέσα, ἀπειργάσθη τὸ ἀγαθόν, ὡς γινώσκομεν.

§. 8.

Γεννηθεῖσα ἐν Μαλακοπῇ, κωμοπόλει τῆς Μικρᾶς Ἀσίας, τοὺς εὐλαβεῖς χριστιανοὺς τῆς ὁποίας διακρίνει εὐσεβὴς πρὸς τὰ πάτρια ζῆλος, καὶ λαβοῦσα χριστιανικὴν ἀνατροφήν, παρὰ φιλοχρίστων γονέων, διήγαγε τὸν βίον θεαρέστως, κατὰ τὰ ἱερὰ παραγγέλματα τῆς ἁγίας ἡμῶν θρησκείας, ἔδωκε δὲ χριστιανικὴν ἀνατροφὴν καὶ παίδευσιν εἰς υἱὸν καὶ κατέστησεν αὐτὸν ἄξιον τῆς ἐντίμου θέσεως, ἣν κατέχει ἐν τῇ κοινωνίᾳ.

§. 9.

Διὸ καὶ ἠξίωσεν αὐτὴν ὁ Κύριος, ἐπὶ πολλὰ ἔτη, ἐν οἰκογενειακῇ εὐδαιμονίᾳ, νὰ συμβιώσῃ μετὰ τοῦ μακαρίτου συζύγου της, νὰ ἴδῃ πολλοὺς ἐγγόνους καὶ νὰ ἀναπαυθῇ ἐν γήρῳ καλῷ· ὑποκύψασα καὶ αὕτη, ὡς ἄνθρωπος, εἰς τὸ μοιραῖον τέλος, ὅπως ὅλοι οἱ πρὸ αὐτῆς, καὶ ἡ μετ' αὐτῆς σήμερον θανοῦσα Βασίλισσα· ὡς καὶ ἡμεῖς πάντες θᾶττον ἢ βράδιον ὑποκύψωμεν. Τῆς ἀειμνήστου ἀδελφῆς ἡμῶν Μαρίνης, εἴη αἰωνία ἡ μνήμη.

## ΟΜΙΛΙΑ Γ'.*

§. 1.

"Καὶ τὸ μνημόσυνον αὐτοῦ εἰς γενεὰν καὶ γενεάν„.

Ἂν τὸ ρητὸν τοῦτο τῆς ἱερᾶς γραφῆς, ἀγαπητοὶ ἀδελφοί, εὐλόγως ἀναφέρομεν εἰς πᾶσαν περίστασιν, καθ' ἣν προπέμπομεν εἰς τὴν τελευταίαν καὶ αἰώνιον αὐτοῦ κατοικίαν ἀδελφὸν ἡμῶν, οὗτινος ὁ βίος ὑπῆρ-

* Ἐξεφωνήθη τῇ 15 Φεβρουαρίου 1902 ἐν τῇ ἱερᾷ Ἐκκλησίᾳ τοῦ ἁγίου Δημητρίου Ταταούλων.

SISMANOGLIO



ξε σύμφωνος πρὸς τὰς θείας ἐντολὰς τῆς ἁγίας ἡμῶν θρησκείας, κατὰ μείζονα λόγον καὶ ἐπαξίως, δυνάμεθα νὰ μνημονεύσωμεν τοῦ ρητοῦ τούτου, κατὰ τὴν πένθιμον ταύτην τελετήν, καθ' ἣν προπέμπομεν τὸν ἀφ' ἡμῶν μεταστάντα ἀδελφὸν ἡμῶν Μιχαὴλ Κρίσπην.

§. 2.

Εὐλόγως καὶ ἐπαξίως λέγω, διότι ὁ ἀείμνηστος πολλαχῶς χρήσιμος καὶ ὠφέλιμος ἐφάνη εἰς τὴν κοινωνίαν. Ἐκ παραδόσεως τυχὼν εὐσεβοῦς ἀνατροφῆς, βαθυτάτην δὲ εὐλάβειαν τρέφων πρὸς τὰς ἠθικὰς ἀρχὰς τῆς ἁγίας ἡμῶν θρησκείας, καὶ συναινῶν ταύτας πρὸς τὰ φιλάνθρωπα διδάγματα τῆς θείας τοῦ Ἀσκληπιοῦ ἐπιστήμης, ὑπῆρξεν ἀληθὴς στρατιώτης τῆς κοινωνίας.

§. 3.

Πολλαχῶς, μετ' ἀξιοσημειώτου ζήλου καὶ προθυμίας ἐπεδαψίλευε τὴν πολύτιμον ἀρωγὴν αὐτοῦ τοῖς πάσχουσιν· ἔσπευδεν εἰς τὸ ἱερὸν καθῆκον νυχθημερόν, μετὰ τοσαύτης δὲ σπουδῆς καὶ ταχύτητος, μεθ' ὅσης ἐσυνείθιζεν ἀείποτε νὰ διευθύνῃ τὸ βῆμα.

§. 4.

Ὅσῳ δὲ ἀξία θαυμασμοῦ καὶ τιμῆς ὑπῆρξεν ἡ ἐπιστημονικὴ καὶ φιλάνθρωπος δρᾶσις αὐτοῦ, τοσούτῳ ἀξία μνήμης καὶ ἐπαίνων ἐστὶ καὶ ἡ ὑπὲρ τῶν κοινῶν πολύτιμος συμβολὴ αὐτοῦ. Ἁγνὸς καὶ εἰλικρινὴς πατριώτης, ἐνδόμυχον τρέφων ζῆλον ὑπὲρ τῆς προαγωγῆς τῶν κοινῶν, παρὰ τὰς πολλὰς ἀσχολίας του, δὲν ἀπέφευγε νὰ χρησιμοποιῇ ὑπὲρ τῶν κοινῶν, τὸν χρόνον τῆς ἀναπαύσεώς του.

§. 5.

Ἡ δὲ τοιαύτη δρᾶσις αὐτοῦ ἐν τῇ κοινωνίᾳ, ἐκτελουμένη μετὰ τόσης αὐταπαρνησίας, μεθ' ὅσης καὶ πρᾳότητος, μειλιχιότητος καὶ εὐπροσηγορίας, ἀνύ-

ψου τὸν μακαρίτην ἐν τῇ κοινῇ συνειδήσει εἰς βαθμὸν ἐπίζηλον. Ἀλανθάστως δύναταί τις νὰ εἴπῃ, ὅτι πάντες ἀνεξαιρέτως ἠγάπων καὶ ἐτίμων τὸν ἀείμνηστον ἰατρὸν Κρίσπην.

§. 6.

Διὸ δικαία καὶ εὔλογός ἐστιν ἡ κατέχουσα ἤδη πάντας ὀδυνηρὰ θλῖψις, ἐπὶ τῇ μεταστάσει αὐτοῦ ἐκ τῶν ἐπιγείων.

Ἡ μὲν ἐπιστήμη ἀπώλεσεν ἐπιφανῆ ἱεροφάντην καὶ μύστην αὐτῆς· οἱ Ἀσκληπιάδαι ἀγαπητὸν συνάδελφον· οἱ φίλοι ἄδολον καὶ εἰλικρινῆ φίλον· ἡ δὲ ἡμετέρα κοινότης ἔντιμον καὶ φιλογενὲς μέλος αὐτῆς, καὶ ζηλωτὴν ἔφορον τῶν Ἐκπαιδευτηρίων της.

Διακεκριμένη δὲ εὐσεβὴς καὶ ἔντιμος οἰκογένεια, τὸν προσφιλέστατον ἀρχηγὸν αὐτῆς· ὅστις ὡς εὐσεβὴς χριστιανός, ἐκπληρώσας εὐόρκως ἐν τῷ κόσμῳ τούτῳ τὸ χριστιανικὸν καὶ ἐπιστημονικὸν αὐτοῦ καθῆκον, καταλείπει αὐτῇ κληρονομίαν ἓν καὶ μόνον, ἀλλὰ πολύτιμον καὶ ἀνεκτίμητον κειμήλιον, τὴν ἀρετήν, ὑπογραμμὸν πᾶσι τοῖς ἐπιγενομένοις.

Διὸ καὶ τὸ μνημόσυνον αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. Κύριος ὁ Θεὸς τάξοι τὴν ψυχὴν τοῦ ἀειμνήστου Μιχαὴλ ἐν σκηναῖς δικαίων. Ἀμήν.

## ΟΜΙΛΙΑ Δ'.*

§. 1.

Κωνσταντῖνε, ἀδελφὲ τῆς πολυκλαύστου Μαρίας, Βαρὺ εἶναι τὸ τραῦμα, τὸ ὁποῖον κατήνεγκεν ὁ ἀπηνὴς καὶ σκληρὸς θάνατος εἰς τὴν καρδίαν σου, ἀφαρπάσας τὴν πολυθρήνητον καὶ πεφιλημένην σοι ἀδελφὴν Μαρίαν· διὸ εὔλογον καὶ δίκαιον εἶναι τὸ κυριεῦον σε αἴσθημα βαθυτάτης θλίψεως καὶ ἄλγους.

§. 2.

Ἐνδομύχως συμμετέχομεν τοῦ ἀλγεινοῦ τούτου αἰσθήματός σου καὶ ἐγκαρδίως σὲ συλλυπούμεθα, εἴτε ὡς συγγενεῖς, εἴτε ὡς φίλοι, εἴτε ὡς χριστιανοὶ καὶ ἄνθρωποι. Ἀλλ' ὑπὸ τὴν ἰδίαν ἰδιότητα καὶ σὲ ἀποτείνομεν δύο λέξεις πρὸς παρηγορίαν.

§. 3.

Ὡς χριστιανός, μνήσθητι ὅτι ἡμεῖς οἱ χριστιανοὶ οὐκ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν· καὶ εἰς τὴν μέλλουσαν ταύτην, ἤδη κατὰ τὰ ἱερὰ διδάγματα τῆς ἁγίας ἡμῶν θρησκείας, μετέβη ἡ ἀθώα ψυχὴ τῆς μακαρίτιδος.

§. 4.

Ὡς ἀληθὴς δὲ ἐπιστήμων, ὡς μύστης τῆς θείας τοῦ Ἀσκληπιοῦ ἐπιστήμης, λάβε ὑπ' ὄψιν τὰ ὑψηλὰ διδάγματα τῆς ἐπιστήμης σου, ἅτινα συμβαδίζουσι τοῖς παραγγέλμασι τῆς ἁγίας ἡμῶν θρησκείας· ὡς ἐπιφανεῖς μύσται ταύτης, ὁ περικλεὴς Βίρχωφ καὶ ἄλλοι δογματίζουσιν.

§. 5.

Ἀρύσθητι λοιπὸν παρηγορίαν καὶ παραμυθίαν ἐκ τῆς ἁγίας ἡμῶν θρησκείας καὶ ἐκ τῆς ἐπιστήμης σου.

§. 6.

Κύριος ὁ Θεὸς ἀνακουφίσοι σε, τὴν δὲ ἀφ' ἡμῶν

* Ἐξεφωνήθη τῇ 30 Μαρτίου 1898 ἐν τῷ ἱερῷ ναῷ τῆς Εὐαγγελιστρίας Προπόδων Ταταούλων, εἰς τὴν κηδείαν τῆς Μαρίας Νικοκλέους Μίχα, τὸ γένος Μούτερη. Πρόωρος καὶ ὀδυνηρὸς ὑπῆρξεν ὁ θάνατος τῆς μακαρίτιδος, προελθὼν ἐκ δηλητηρίου, ὅπερ ἔλαβεν αὕτη κατὰ λάθος, ἐκ συγχύσεως τῆς περιεχούσης φάρμακον, δι' ἐλαφρὰν ἀδιαθεσίαν της, φιάλης. Κατέλιπε δὲ δύο νήπια ὀρφανὰ καὶ ἀπαρηγορήτους σύζυγον, καὶ ἀδελφὸν τὸν φίλον Κ. Μούτερην, ἰατρόν.

μεταστᾶσαν ἀείμνηστον Μαρίαν,κατατάξοι ἐν σκηναῖς δικαίων. Εἴη αἰωνία ἡ μνήμη αὐτῆς.

## ΟΜΙΛΙΑ Ε΄.*

§. 1.

**«Ἀπέθανεν ἐν γήρῳ καλῷ».**

Κατὰ τὴν πένθιμον ταύτην τελετήν, ἀγαπητοὶ ἀδελφοί, καθ' ἣν συγγενεῖς τε καὶ φίλοι προπέμπομεν εἰς τὴν τελευταίαν καὶ αἰώνιον αὐτῆς κατοικίαν τὴν ἀφ' ἡμῶν μεταστᾶσαν ἀείμνηστον ἀδελφὴν ἡμῶν Ἑλένην, εὐλόγως καὶ δικαίως δυνάμεθα νὰ μνημονεύσωμεν τοῦ ρητοῦ τούτου τῆς ἱερᾶς γραφῆς.

§. 2.

Διότι ἡ ἀείμνηστος γεννηθεῖσα ἐκ γονέων εὐσεβῶν, ἐκ τῆς ἱστορικῆς ἐκείνης γενεᾶς, ἣν διέκρινεν ἀκραιφνὴς πρὸς τὰ πάτρια ζῆλος, ἔλαβε χριστιανικὴν ἀνατροφὴν καὶ μόρφωσιν, καὶ ὅλον τὸν βίον αὐτῆς διῆλθεν ἐν τῇ ἐνασκήσει τῶν Εὐαγγελικῶν ἀρετῶν.

§. 3.

Διὰ τοῦτο καὶ ὁ Πανάγαθος Θεὸς ἀμείβων τὰς ἀρετάς της, ἠξίωσεν αὐτήν,νὰ ἴδῃ τέκνα τέκνων· νὰ διέλθῃ τὸν μακρὸν βίον της, ἐν οἰκογενειακῇ καὶ χριστιανικῇ εὐδαιμονίᾳ, καὶ ἐν μακαριστῇ γαλήνῃ καὶ εἰρήνῃ, ν' ἀναπαυθῇ ἐν γήρῳ καλῷ.

Τῆς μακαρίτιδος ἀδελφῆς ἡμῶν Ἑλένης, Εἴη αἰωνία ἡ μνήμη.

---

* Ἐξεφωνήθη τῇ 21 Μαρτίου 1903 ἐν τῷ ἱερῷ ναῷ τοῦ Ἁγίου Δημητρίου Ταταούλων.

SISMANOGLIO

## ΕΡΓΑ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΠΑΜΦΙΛΟΥ

### ΜΕΛΙΣΣΗΝΟΥ ΧΡΙΣΤΟΔΟΥΛΟΥ (δ. ν.)

**Πρόχειρον Νομικόν.** Βιβλίον Α΄. Τὰ κωλύματα τοῦ γάμου. (σελ. 276) Γρ. 15

**Πρόχειρον Νομικόν.** Βιβλίον Β΄. Ἡ μνηστεία (σελ. 176) » 5

**Ἡ Θράκη καὶ αἱ Σαράντα-Ἐκκλησίαι.** Μετά τινων διοικητικῶν Ἐκκλησιαστ. ζητημάτων (σελ. 304) » 5

**Ἱστοριογεωγραφικὴ περιγραφή.** Τῆς Ἐπαρχίας Σαράντα Ἐκκλησιῶν (σελ. 104) » 5

**Ἡ ἁρμονία** ἐν τῇ ἐκτελέσει τῆς ἱερᾶς ἡμῶν μελῳδίας.

---

**Ἕτερα ἔργα τοῦ αὐτοῦ συγγραφέως ἐκδοθησόμενα**

**Πρόχειρον Νομικόν.** Βιβλίον Α΄. Τὰ κωλύματα τοῦ γάμου ἐν τῇ Ἀνατολικῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ. Ἔκδοσις Δευτέρα. Περιέχουσα τὰ ἕνεκα **Συγγενείας** (ἐξ αἵματος. Αγχιστείας. Τριγενείας· Οἱονεὶ Ἀγχιστείας καὶ Πνευματικῆς ἢ ἐξ Ἁγίου Βαπτίσματος) κωλύματα. Μετὰ πολλῶν νέων καὶ ποικίλων **Διαγραμμάτων** καὶ ἀναριθμήτων σχημάτων καὶ παραδειγμάτων, διασαφηνιζομένων καὶ ἁπλοποιουμένων πολλαχοῦ, δι' ἁπλουστάτης ἑρμηνείας καὶ λεπτομεροῦς ἐξηγήσεως· σημειουμένων δὲ καὶ τῶν γενῶν ἰδιαιτέρως ἐν τῇ Ἀγχιστείᾳ καὶ τῇ Τριγενείᾳ. Μετὰ **Παραρτήματος** Λύσεως ἀποριῶν, περὶ πολυπλόκων περιπτώσεων κωλυμάτων τοῦ γάμου καὶ **Γενεαλογικοῦ Πίνακος** πρωτοτύπου, περιλαμβάνοντος ἐν 11 ἡμικυκλίοις 654 ὀνόματα συγγενῶν ἐξ αἵματος.

**Πρόχειρον Νομικόν.** Βιβλίον Γ΄. Τὸ διαζύγιον.

**Μελέτη** Περὶ διαιρέσεως τῶν Τυπικῶν διατάξεων.

**Ποικίλα.** Ἤτοι, Ἐκκλησιαστικά, Διδακτικαὶ Ὁμιλίαι, Μουσικολογικά, Νομικά, Ἱστοριογεωγραφικὰ καὶ Διάφορα. Τὰ πλεῖστα δημοσιευθέντα διὰ τοῦ τύπου, κατὰ διαφόρους ἐποχάς.

Τὸ παρὸν **τιμᾶται γρόσια ἀργυρᾶ δύο.** (2).

Κεντρικὴ ἀποθήκη, Βιβλιοπωλεῖον Ι. Κ. ΣΕΪΤΑΝΙΔΟΥ ἐν Γαλατᾷ

Καὶ Βιβλιοπωλεῖα

ΑΔΕΛΦΩΝ ΚΑΛΛΙΦΡΟΝΟΣ ἐν Φαναρίῳ καὶ ἐν Ζιντὰν-Καπού.